παντὶ δοθήσεται καὶ περισσευθήσεται ἀπὸ δὲ τοῦ μὴ ἔχοντος
καὶ ὃ ἔχει ἀρθήσεται ἀπ αὐτοῦ. καὶ τὸν ἀχρεῖον δοῦλον ἐκ- 30
βάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων. Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν 31
τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ αὐτοῦ τότε κα-
θίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν 32
αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἀφοριεῖ αὐτοὺς ἀπ ἀλλήλων ὥσπερ ὁ
ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. καὶ στήσει τὰ 33
μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τότε 34
ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ Δεῦτε οἱ εὐλογημένοι τοῦ
πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν
ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φα- 35
γεῖν ἐδίψησα καὶ ἐποτίσατέ με ξένος ἤμην καὶ συνηγάγετέ με.
γυμνὸς καὶ περιεβάλετέ με ἠσθένησα καὶ ἐπεσκέψασθέ με ἐν 36
φυλακῇ ἤμην καὶ ἤλθετε πρός με. τότε ἀποκριθήσονται αὐτῷ 37
οἱ δίκαιοι λέγοντες Κύριε πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψα-
μεν ἢ διψῶντα καὶ ἐποτίσαμεν. πότε δέ σε εἴδομεν ξένον καὶ 38
συνηγάγομεν ἢ γυμνὸν καὶ περιεβάλομεν. πότε δέ σε εἴδομεν 39
ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σε. καὶ ἀποκριθεὶς 40

---

v.28 αἴρω^{vdaa2p} οὖν^{c} ἀπό^{p} αὐτός^{rpgms} ὁ^{dans} τάλαντον^{nans} καί^{c} δίδωμι^{vdaa2p} ὁ^{ddms} ἔχω^{vppadms} ὁ^{danp} δέκα^{tn} τάλαντον^{nanp}. **v.29** ὁ^{ddms} γάρ^{c} ἔχω^{vppadms} πᾶς^{admsn} δίδωμι^{vifp3s} καί^{c} περισσεύω^{vifp3s} ἀπό^{p} δέ^{c} ὁ^{dgms} μή^{xo} ἔχω^{vppagms} καί^{c} ὅς^{rrans} ἔχω^{vipa3s} αἴρω^{vifp3s} ἀπό^{p} αὐτός^{rpgms}. **v.30** καί^{c} ὁ^{dams} ἀχρεῖος^{aamsn} δοῦλος^{nams} ἐκβάλλω^{vdpa2p} εἰς^{p} ὁ^{dans} σκότος^{nans} ὁ^{dans} ἐξώτερος^{aansn} ἐκεῖ^{bo} εἰμί^{vifx3s} ὁ^{dnms} κλαυθμός^{nnms} καί^{c} ὁ^{dnms} βρυγμός^{nnms} ὁ^{dgmp} ὀδούς^{ngmp}. **v.31** ὅταν^{c} δέ^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐν^{p} ὁ^{ddfs} δόξα^{ndfs} αὐτός^{rpgms} καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} ἅγιος^{anmpn} ἄγγελος^{nnmp} μετά^{p} αὐτός^{rpgms} τότε^{bo} καθίζω^{vifa3s} ἐπί^{p} θρόνος^{ngms} δόξα^{ngfs} αὐτός^{rpgms}. **v.32** καί^{c} συνάγω^{vifp3s} ἔμπροσθεν^{p} αὐτός^{rpgms} πᾶς^{annpn} ὁ^{dnnp} ἔθνος^{nnnp} καί^{c} ἀφορίζω^{vifa3s} αὐτός^{rpamp} ἀπό^{p} ἀλλήλων^{regnp} ὥσπερ^{bo} ὁ^{dnms} ποιμήν^{nnms} ἀφορίζω^{vipa3s} ὁ^{danp} πρόβατον^{nanp} ἀπό^{p} ὁ^{dgmp} ἔριφος^{ngmp}. **v.33** καί^{c} ἵστημι^{vifa3s} ὁ^{danp} μέν^{xo} πρόβατον^{nanp} ἐκ^{p} δεξιός^{agmpn} αὐτός^{rpgms} ὁ^{danp} δέ^{c} ἐρίφιον^{nanp} ἐκ^{p} εὐώνυμος^{agmpn}. **v.34** τότε^{bo} λέγω^{vifa3s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{ddnp} ἐκ^{p} δεξιός^{agmpn} αὐτός^{rpgms} δεῦτε^{vdvx2p} ὁ^{dnmp} εὐλογέω^{vpxpnmp} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ κληρονομέω^{vdaa2p} ὁ^{dafs} ἑτοιμάζω^{vpxpafs} σύ$^{rpd-p}$ βασιλεία^{nafs} ἀπό^{p} καταβολή^{ngfs} κόσμος^{ngms}. **v.35** πεινάω^{viaa1s} γάρ^{c} καί^{c} δίδωμι^{viaa2p} ἐγώ$^{rpd-s}$ ἐσθίω^{vnaa} διψάω^{viaa1s} καί^{c} ποτίζω^{viaa2p} ἐγώ$^{rpa-s}$ ξένος^{anmsn} εἰμί^{viix1s} καί^{c} συνάγω^{viaa2p} ἐγώ$^{rpa-s}$. **v.36** γυμνός^{anmsn} καί^{c} περιβάλλω^{viaa2p} ἐγώ$^{rpa-s}$ ἀσθενέω^{viaa1s} καί^{c} ἐπισκέπτομαι^{viad2p} ἐγώ$^{rpa-s}$ ἐν^{p} φυλακή^{ndfs} εἰμί^{viix1s} καί^{c} ἔρχομαι^{viaa2p} πρός^{p} ἐγώ$^{rpa-s}$. **v.37** τότε^{bo} ἀποκρίνομαι^{vifo3p} αὐτός^{rpdms} ὁ^{dnmp} δίκαιος^{anmpn} λέγω^{vppanmp} κύριος^{nvms} πότε^{xo} σύ$^{rpa-s}$ ὁράω^{viaa1p} πεινάω^{vppaams} καί^{c} τρέφω^{viaa1p} ἤ^{xo} διψάω^{vppaams} καί^{c} ποτίζω^{viaa1p}. **v.38** πότε^{xo} δέ^{c} σύ$^{rpa-s}$ ὁράω^{viaa1p} ξένος^{aamsn} καί^{c} συνάγω^{viaa1p} ἤ^{xo} γυμνός^{aamsn} καί^{c} περιβάλλω^{viaa1p}. **v.39** πότε^{xo} δέ^{c} σύ$^{rpa-s}$ ὁράω^{viaa1p} ἀσθενής^{aamsn} ἤ^{xo} ἐν^{p} φυλακή^{ndfs} καί^{c} ἔρχομαι^{viaa1p} πρός^{p} σύ$^{rpa-s}$.

ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς Ἀμὴν λέγω ὑμῖν ἐφ ὅσον ἐποιήσατε ἑνὶ
41 τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων ἐμοὶ ἐποιήσατε. Τότε
ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων Πορεύεσθε ἀπ ἐμοῦ οἱ κατηραμέ-
νοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς
42 ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν
43 ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην καὶ οὐ συνηγάγετέ
με γυμνὸς καὶ οὐ περιεβάλετέ με ἀσθενὴς καὶ ἐν φυλακῇ καὶ
44 οὐκ ἐπεσκέψασθέ με. τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ
λέγοντες Κύριε πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ
45 γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ οὐ διηκονήσαμέν σοι. τότε
ἀποκριθήσεται αὐτοῖς λέγων Ἀμὴν λέγω ὑμῖν ἐφ ὅσον οὐκ ἐ-
46 ποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ
ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον οἱ δὲ δίκαιοι εἰς ζωὴν
αἰώνιον.

26 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τού-
2 τους εἶπεν τοῖς μαθηταῖς αὐτοῦ. Οἴδατε ὅτι μετὰ δύο ἡμέρας
τὸ πάσχα γίνεται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ
3 σταυρωθῆναι. Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματ-
εῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως
4 τοῦ λεγομένου Καϊάφα. καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν
5 κρατήσωσιν δόλῳ καὶ ἀποκτείνωσιν, ἔλεγον δέ Μὴ ἐν τῇ ἑορτῇ

---

v.40 καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} βασιλεύς^{nnms} λέγω^{vifa3s} αὐτός^{rpdmp} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἐπί^{p} ὅσος^{rcans} ποιέω^{viaa2p} εἷς^{ndms} οὗτος^{rdgmp} ὁ^{dgmp} ἀδελφός^{ngmp} ἐγώ$^{rpg-s}$ ὁ^{dgmp} ἐλάχιστος^{agmpn} ἐγώ$^{rpd-s}$ ποιέω^{viaa2p}. **v.41** τότε^{bo} λέγω^{vifa3s} καί^{c} ὁ^{ddnp} ἐκ^{p} εὐώνυμος^{agmpn} πορεύομαι^{vdpn2p} ἀπό^{p} ἐγώ$^{rpg-s}$ ὁ^{dnmp} καταράομαι^{vpxpnmp} εἰς^{p} ὁ^{dans} πῦρ^{nans} ὁ^{dans} αἰώνιος^{aansn} ὁ^{dans} ἑτοιμάζω^{vpxpans} ὁ^{ddms} διάβολος^{admsn} καί^{c} ὁ^{ddmp} ἄγγελος^{ndmp} αὐτός^{rpgms}. **v.42** πεινάω^{viaa1s} γάρ^{c} καί^{c} οὐ^{xo} δίδωμι^{viaa2p} ἐγώ$^{rpd-s}$ ἐσθίω^{vnaa} διψάω^{viaa1s} καί^{c} οὐ^{xo} ποτίζω^{viaa2p} ἐγώ$^{rpa-s}$. **v.43** ξένος^{anmsn} εἰμί^{viix1s} καί^{c} οὐ^{xo} συνάγω^{viaa2p} ἐγώ$^{rpa-s}$ γυμνός^{anmsn} καί^{c} οὐ^{xo} περιβάλλω^{viaa2p} ἐγώ$^{rpa-s}$ ἀσθενής^{anmsn} καί^{c} ἐν^{p} φυλακή^{ndfs} καί^{c} οὐ^{xo} ἐπισκέπτομαι^{viad2p} ἐγώ$^{rpa-s}$. **v.44** τότε^{bo} ἀποκρίνομαι^{vifo3p} αὐτός^{rpdms} καί^{c} αὐτός^{rpnmp} λέγω^{vppanmp} κύριος^{nvms} πότε^{xo} σύ$^{rpa-s}$ ὁράω^{viaa1p} πεινάω^{vppaams} ἤ^{xo} διψάω^{vppaams} ἤ^{xo} ξένος^{aamsn} ἤ^{xo} γυμνός^{aamsn} ἤ^{xo} ἀσθενής^{aamsn} ἤ^{xo} ἐν^{p} φυλακή^{ndfs} καί^{c} οὐ^{xo} διακονέω^{viaa1p} σύ$^{rpd-s}$. **v.45** τότε^{bo} ἀποκρίνομαι^{vifo3s} αὐτός^{rpdmp} λέγω^{vppanms} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἐπί^{p} ὅσος^{rcans} οὐ^{xo} ποιέω^{viaa2p} εἷς^{ndms} οὗτος^{rdgmp} ὁ^{dgmp} ἐλάχιστος^{agmpn} οὐδέ^{bo} ἐγώ$^{rpd-s}$ ποιέω^{viaa2p}. **v.46** καί^{c} ἀπέρχομαι^{vifd3p} οὗτος^{rdnmp} εἰς^{p} κόλασις^{nafs} αἰώνιος^{aafsn} ὁ^{dnmp} δέ^{c} δίκαιος^{anmpn} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn}. **26. v.1** καί^{c} γίνομαι^{viad3s} ὅτε^{bo} τελέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} πᾶς^{aampn} ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} λέγω^{viaa3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms}. **v.2** οἶδα^{vixa2p} ὅτι^{c} μετά^{p} δύο^{tn} ἡμέρα^{nafp} ὁ^{dnns} πάσχα^{ta} γίνομαι^{vipn3s} καί^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vipp3s} εἰς^{p} ὁ^{dans} σταυρόω^{vnap}. **v.3** τότε^{bo} συνάγω^{viap3p} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} ὁ^{dgms} λαός^{ngms} εἰς^{p} ὁ^{dafs} αὐλή^{nafs} ὁ^{dgms} ἀρχιερεύς^{ngms} ὁ^{dgms} λέγω^{vpppgms} Καϊάφας^{ngms}. **v.4** καί^{c} συμβουλεύω^{viam3p} ἵνα^{c} ὁ^{dams} Ἰησοῦς^{nams} κρατέω^{vsaa3p} δόλος^{ndms} καί^{c} ἀποκτείνω^{vspa3p}.

ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γενομένου 6
ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ. προσῆλθεν αὐτῷ 7
γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ
τῆν κεφαλὴν αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐ- 8
τοῦ ἠγανάκτησαν λέγοντες Εἰς τί ἡ ἀπώλεια αὕτη. ἠδύνατο 9
γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς.
γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς Τί κόπους παρέχετε τῇ γυ- 10
ναικί ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ, πάντοτε γὰρ τοὺς 11
πτωχοὺς ἔχετε μεθ ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε ἔχετε, βαλοῦσα 12
γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου πρὸς τὸ ἐνται-
φιάσαι με ἐποίησεν. ἀμὴν λέγω ὑμῖν ὅπου ἐὰν κηρυχθῇ τὸ 13
εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ λαληθήσεται καὶ ὃ ἐποίησεν
αὕτη εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν δώδεκα 14
ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης πρὸς τοὺς ἀρχιερεῖς. εἶπεν 15
Τί θέλετέ μοι δοῦναι κἀγὼ ὑμῖν παραδώσω αὐτόν οἱ δὲ ἔστη-
σαν αὐτῷ τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν 16
ἵνα αὐτὸν παραδῷ. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ 17
μαθηταὶ τῷ Ἰησοῦ λέγοντες αὐτῷ Ποῦ θέλεις ἑτοιμάσωμέν σοι
φαγεῖν τὸ πάσχα. ὁ δὲ εἶπεν Ὑπάγετε εἰς τὴν πόλιν πρὸς 18
τὸν δεῖνα καὶ εἴπατε αὐτῷ Ὁ διδάσκαλος λέγει Ὁ καιρός μου

---

v.5 λέγω^{viia3p} δέ^{c} μή^{xo} ἐν^{p} ὁ^{ddfs} ἑορτή^{ndfs} ἵνα^{c} μή^{xo} θόρυβος^{nnms} γίνομαι^{vsad3s} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}. **v.6** ὁ^{dgms} δέ^{c} Ἰησοῦς^{ngms} γίνομαι^{vpadgms} ἐν^{p} Βηθανία^{ndfs} ἐν^{p} οἰκία^{ndfs} Σίμων^{ngms} ὁ^{dgms} λεπρός^{agmsn}. **v.7** προσέρχομαι^{viaa3s} αὐτός^{rpdms} γυνή^{nnfs} ἀλάβαστρος^{nans} μύρον^{ngns} ἔχω^{vppanfs} βαρύτιμος^{agnsn} καί^{c} καταχέω^{viaa3s} ἐπί^{p} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} ἀνάκειμαι^{vppngms}. **v.8** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ἀγανακτέω^{viaa3p} λέγω^{vppanmp} εἰς^{p} τίς^{rqans} ὁ^{dnfs} ἀπώλεια^{nnfs} οὗτος^{rdnfs}. **v.9** δύναμαι^{viin3s} γάρ^{c} οὗτος^{rdnns} ὁ^{dnns} μύρον^{nnns} πιπράσκω^{vnap} πολύς^{agnsn} καί^{c} δίδωμι^{vnap} πτωχός^{admpn}. **v.10** γινώσκω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqans} κόπος^{namp} παρέχω^{vipa2p} ὁ^{ddfs} γυνή^{ndfs} ἔργον^{nans} γάρ^{c} καλός^{aansn} ἐργάζομαι^{viad3s} εἰς^{p} ἐγώ$^{rpa-s}$. **v.11** πάντοτε^{bo} γάρ^{c} ὁ^{damp} πτωχός^{aampn} ἔχω^{vipa2p} μετά^{p} ἑαυτοῦ^{rxgmp} ἐγώ$^{rpa-s}$ δέ^{c} οὐ^{xo} πάντοτε^{bo} ἔχω^{vipa2p}. **v.12** βάλλω^{vpaanfs} γάρ^{c} οὗτος^{rpnfs} ὁ^{dans} μύρον^{nans} οὗτος^{rdans} ἐπί^{p} ὁ^{dgns} σῶμα^{ngns} ἐγώ$^{rpg-s}$ πρός^{p} ὁ^{dans} ἐνταφιάζω^{vnaa} ἐγώ$^{rpa-s}$ ποιέω^{viaa3s}. **v.13** ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅπου^{bo} ἐάν^{qo} κηρύσσω^{vsap3s} ὁ^{dnns} εὐαγγέλιον^{nnns} οὗτος^{rdnns} ἐν^{p} ὅλος^{admsn} ὁ^{ddms} κόσμος^{ndms} λαλέω^{vifp3s} καί^{c} ὅς^{rrans} ποιέω^{viaa3s} οὗτος^{rpnfs} εἰς^{p} μνημόσυνον^{nans} αὐτός^{rpgfs}. **v.14** τότε^{bo} πορεύομαι^{vpaonms} εἷς^{nnms} ὁ^{dgmp} δώδεκα^{tn} ὁ^{dnms} λέγω^{vpppnms} Ἰούδας^{nnms} Ἰσκαριώθ^{nnms} πρός^{p} ὁ^{damp} ἀρχιερεύς^{namp}. **v.15** λέγω^{viaa3s} τίς^{rqans} θέλω^{vipa2p} ἐγώ$^{rpd-s}$ δίδωμι^{vnaa} κἀγώ$^{rpn-s}$ σύ$^{rpd-p}$ παραδίδωμι^{vifa1s} αὐτός^{rpams} ὁ^{dnmp} δέ^{c} ἵστημι^{viaa3p} αὐτός^{rpdms} τριάκοντα^{tn} ἀργύριον^{nanp}. **v.16** καί^{c} ἀπό^{p} τότε^{bo} ζητέω^{viia3s} εὐκαιρία^{nafs} ἵνα^{c} αὐτός^{rpams} παραδίδωμι^{vsaa3s}. **v.17** ὁ^{ddfs} δέ^{c} πρῶτος^{adfsn} ὁ^{dgnp} ἄζυμος^{agnpn} προσέρχομαι^{viaa3p} ὁ^{dnmp} μαθητής^{nnmp} ὁ^{ddms} Ἰησοῦς^{ndms} λέγω^{vppanmp} αὐτός^{rpdms} ποῦ^{xo} θέλω^{vipa2s} ἑτοιμάζω^{vsaa1p} σύ$^{rpd-s}$ ἐσθίω^{vnaa} ὁ^{dans} πάσχα^{ta}.

ἐγγύς ἐστιν πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.
19 καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς καὶ ἡ-
20 τοίμασαν τὸ πάσχα. Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν
21 δώδεκα. καὶ ἐσθιόντων αὐτῶν εἶπεν Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ
22 ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν
23 αὐτῷ ἕκαστος αὐτῶν, Μήτι ἐγώ εἰμι κύριε. ὁ δὲ ἀποκριθεὶς
εἶπεν Ὁ ἐμβάψας μετ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα οὗτός με
24 παραδώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγρα-
πται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται, καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄν-
25 θρωπος ἐκεῖνος. ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν
26 εἶπεν Μήτι ἐγώ εἰμι ῥαββί λέγει αὐτῷ Σὺ εἶπας. Ἐσθιόντων δὲ
αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ
ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπεν Λάβετε φάγετε τοῦτό ἐστιν τὸ
27 σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν
28 αὐτοῖς λέγων Πίετε ἐξ αὐτοῦ πάντες. τοῦτο γάρ ἐστιν τὸ αἷμά
μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς
29 ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν

---

v.18 ὁ[dnms] δὲ[c] λέγω[viaa3s] ὑπάγω[vdpa2p] εἰς[p] ὁ[dafs] πόλις[nafs] πρός[p] ὁ[dams] δεῖνα[aamsn] καί[c] λέγω[vdaa2p] αὐτός[rpdms] ὁ[dnms] διδάσκαλος[nnms] λέγω[vipa3s] ὁ[dnms] καιρός[nnms] ἐγώ[rpg-s] ἐγγύς[bo] εἰμί[vipx3s] πρός[p] σύ[rpa-s] ποιέω[vipa1s] ὁ[dans] πάσχα[ta] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] ἐγώ[rpg-s]. **v.19** καί[c] ποιέω[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] ὡς[bo] συντάσσω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἑτοιμάζω[viaa3p] ὁ[dans] πάσχα[ta]. **v.20** ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] ἀνάκειμαι[viin3s] μετά[p] ὁ[dgmp] δώδεκα[tn]. **v.21** καί[c] ἐσθίω[vppagmp] αὐτός[rpgmp] λέγω[viaa3s] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] εἷς[nnms] ἐκ[p] σύ[rpg-p] παραδίδωμι[vifa3s] ἐγώ[rpa-s]. **v.22** καί[c] λυπέω[vpppnmp] σφόδρα[bo] ἄρχω[viad3p] λέγω[vnpa] αὐτός[rpdms] ἕκαστος[anmsn] αὐτός[rpgmp] μήτι[xo] ἐγώ[rpn-s] εἰμί[vipx1s] κύριος[nvms]. **v.23** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] ὁ[dnms] ἐμβάπτω[vpaanms] μετά[p] ἐγώ[rpg-s] ἐν[p] ὁ[ddns] τρύβλιον[ndns] ὁ[dafs] χείρ[nafs] οὗτος[rdnms] ἐγώ[rpa-s] παραδίδωμι[vifa3s]. **v.24** ὁ[dnms] μέν[xo] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ὑπάγω[vipa3s] καθώς[bo] γράφω[vixp3s] περί[p] αὐτός[rpgms] οὐαί[i] δέ[c] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκεῖνος[rddms] διά[p] ὅς[rrgms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vipp3s] καλός[annsn] εἰμί[viix3s] αὐτός[rpdms] εἰ[qo] οὐ[xo] γεννάω[viap3s] ὁ[dnms] ἄνθρωπος[nnms] ἐκεῖνος[rdnms]. **v.25** ἀποκρίνομαι[vpaonms] δέ[c] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] λέγω[viaa3s] μήτι[xo] ἐγώ[rpn-s] εἰμί[vipx1s] ῥαββί[th] λέγω[vipa3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[viaa2s]. **v.26** ἐσθίω[vppagmp] δέ[c] αὐτός[rpgmp] λαμβάνω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dams] ἄρτος[nams] καί[c] εὐλογέω[vpaanms] κλάω[viaa3s] καί[c] δίδωμι[viia3s] ὁ[ddmp] μαθητής[ndmp] καί[c] λέγω[viaa3s] λαμβάνω[vdaa2p] ἐσθίω[vdaa2p] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] σῶμα[nnns] ἐγώ[rpg-s]. **v.27** καί[c] λαμβάνω[vpaanms] ὁ[dans] ποτήριον[nans] καί[c] εὐχαριστέω[vpaanms] δίδωμι[viaa3s] αὐτός[rpdmp] λέγω[vppanms] πίνω[vdaa2p] ἐκ[p] αὐτός[rpgns] πᾶς[anmpn]. **v.28** οὗτος[rdnns] γάρ[c] εἰμί[vipx3s] ὁ[dnns] αἷμα[nnns] ἐγώ[rpg-s] ὁ[dnns] ὁ[dgfs] καινός[agfsn] διαθήκη[ngfs] ὁ[dnns] περί[p] πολύς[agmpn] ἐκχέω[vpppnns] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp].

αὐτὸ πίνω μεθ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.
Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. Τότε λέγει 30, 31
αὐτοῖς ὁ Ἰησοῦς Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ
νυκτὶ ταύτῃ γέγραπται γάρ Πατάξω τὸν ποιμένα καὶ διασκορ-
πισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί 32
με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκριθεὶς δὲ ὁ Πέτρος 33
εἶπεν αὐτῷ Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί ἐγὼ οὐδέ-
ποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς Ἀμὴν λέγω σοι 34
ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ
με. λέγει αὐτῷ ὁ Πέτρος Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν οὐ μή 35
σε ἀπαρνήσομαι ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε 36
ἔρχεται μετ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ,
καὶ λέγει τοῖς μαθηταῖς Καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσ-
εύξωμαι ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς 37
Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. τότε λέγει αὐτοῖς 38
Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, μείνατε ὧδε καὶ
γρηγορεῖτε μετ ἐμοῦ. καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρό- 39
σωπον αὐτοῦ προσευχόμενος καὶ λέγων Πάτερ μου εἰ δυνατόν
ἐστιν παρελθέτω ἀπ ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ
θέλω ἀλλ ὡς σύ. καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει 40

---

v.29 λέγω^{vipa1s} δέ^{c} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} πίνω^{vsaa1s} ἀπό^{p} ἄρτι^{bo} ἐκ^{p} οὗτος^{rdgns} ὁ^{dgns} γέννημα^{ngns} ὁ^{dgfs} ἄμπελος^{ngfs} ἕως^{c} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἐκεῖνος^{rdgfs} ὅταν^{c} αὐτός^{rpans} πίνω^{vipa1s} μετά^{p} σύ$^{rpg\text{-}p}$ καινός^{aansn} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}s}$. **v.30** καί^{c} ὑμνέω^{vpaanmp} ἐξέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὁ^{dgfp} ἐλαία^{ngfp}. **v.31** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} πᾶς^{anmpn} σύ$^{rpn\text{-}p}$ σκανδαλίζω^{vifp2p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ ἐν^{p} ὁ^{ddfs} νύξ^{ndfs} οὗτος^{rddfs} γράφω^{vixp3s} γάρ^{c} πατάσσω^{vifa1s} ὁ^{dams} ποιμήν^{nams} καί^{c} διασκορπίζω^{vifp3s} ὁ^{dnnp} πρόβατον^{nnnp} ὁ^{dgfs} ποίμνη^{ngfs}. **v.32** μετά^{p} δέ^{c} ὁ^{dans} ἐγείρω^{vnap} ἐγώ$^{rpa\text{-}s}$ προάγω^{vifa1s} σύ$^{rpa\text{-}p}$ εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **v.33** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Πέτρος^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} εἰ^{qo} καί^{c} πᾶς^{anmpn} σκανδαλίζω^{vifp3p} ἐν^{p} σύ$^{rpd\text{-}s}$ ἐγώ$^{rpn\text{-}s}$ οὐδέποτε^{bo} σκανδαλίζω^{vifp1s}. **v.34** φημί^{viix3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd\text{-}s}$ ὅτι^{c} ἐν^{p} οὗτος^{rddfs} ὁ^{ddfs} νύξ^{ndfs} πρίν^{bo} ἀλέκτωρ^{nams} φωνέω^{vnaa} τρίς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa\text{-}s}$. **v.35** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Πέτρος^{nnms} κἄν^{qo} δεῖ^{vspq3s} ἐγώ$^{rpa\text{-}s}$ σύν^{p} σύ$^{rpd\text{-}s}$ ἀποθνῄσκω^{vnaa} οὐ^{xo} μή^{xo} σύ$^{rpa\text{-}s}$ ἀπαρνέομαι^{vifd1s} ὁμοίως^{bo} καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} μαθητής^{nnmp} λέγω^{viaa3p}. **v.36** τότε^{bo} ἔρχομαι^{vipn3s} μετά^{p} αὐτός^{rpgmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} χωρίον^{nans} λέγω^{vpppans} Γεθσημανί^{tp} καί^{c} λέγω^{vipa3s} ὁ^{ddmp} μαθητής^{ndmp} καθίζω^{vdaa2p} αὐτοῦ^{bo} ἕως^{c} ὅς^{bo} ἀπέρχομαι^{vpaanms} προσεύχομαι^{vsad1s} ἐκεῖ^{bo}. **v.37** καί^{c} παραλαμβάνω^{vpaanms} ὁ^{dams} Πέτρος^{nams} καί^{c} ὁ^{damp} δύο^{tn} υἱός^{namp} Ζεβεδαῖος^{ngms} ἄρχω^{viad3s} λυπέω^{vnpp} καί^{c} ἀδημονέω^{vnpa}. **v.38** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdmp} περίλυπος^{anfsn} εἰμί^{vipx3s} ὁ^{dnfs} ψυχή^{nnfs} ἐγώ$^{rpg\text{-}s}$ ἕως^{c} θάνατος^{ngms} μένω^{vdaa2p} ὧδε^{bo} καί^{c} γρηγορέω^{vdpa2p} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$. **v.39** καί^{c} προέρχομαι^{vpaanms} μικρός^{aamsn} πίπτω^{viaa3s} ἐπί^{p} πρόσωπον^{nans} αὐτός^{rpgms} προσεύχομαι^{vppnnms} καί^{c} λέγω^{vppanms} πατήρ^{nvms} ἐγώ$^{rpg\text{-}s}$ εἰ^{qo} δυνατός^{annsn} εἰμί^{vipx3s} παρέρχομαι^{vdaa3s} ἀπό^{p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dans} ποτήριον^{nans} οὗτος^{rdans} πλήν^{bo} οὐ^{xo} ὡς^{bo} ἐγώ$^{rpn\text{-}s}$ θέλω^{vipa1s} ἀλλά^{c} ὡς^{bo} σύ$^{rpn\text{-}s}$.

αὐτοὺς καθεύδοντας καὶ λέγει τῷ Πέτρῳ Οὕτως οὐκ ἰσχύσατε
41 μίαν ὥραν γρηγορῆσαι μετ ἐμοῦ. γρηγορεῖτε καὶ προσεύχε-
σθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν, τὸ μὲν πνεῦμα πρόθυμον
42 ἡ δὲ σὰρξ ἀσθενής. πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο
λέγων Πάτερ μου εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀ᾽π
43 ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν
εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλ-
44 μοὶ βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν προσηύ-
45 ξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. τότε ἔρχεται πρὸς τοὺς
μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς Καθεύδετε τὸ λοιπὸν καὶ ἀνα-
παύεσθε, ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδί-
46 δοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγείρεσθε ἄγωμεν, ἰδοὺ ἤγγικεν
47 ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς
τῶν δώδεκα ἦλθεν καὶ μετ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν
48 καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ
δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων Ὃν ἂν φι-
49 λήσω αὐτός ἐστιν κρατήσατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ
50 Ἰησοῦ εἶπεν Χαῖρε ῥαββί καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτῷ Ἑταῖρε ἐφ ᾧ πάρει τότε προσελθόντες ἐπέβαλον τὰς
51 χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. καὶ ἰδοὺ εἷς τῶν

---

v.40 καί^{c} ἔρχομαι^{vipn3s} πρός^{p} ὁ^{damp} μαθητής^{namp} καί^{c} εὑρίσκω^{vipa3s} αὐτός^{rpamp} καθεύδω^{vppaamp} καί^{c} λέγω^{vipa3s} ὁ^{ddms} Πέτρος^{ndms} οὕτω^{bo} οὐ^{xo} ἰσχύω^{viaa2p} εἷς^{nafs} ὥρα^{nafs} γρηγορέω^{vnaa} μετά^{p} ἐγώ$^{rpg-s}$. **v.41** γρηγορέω^{vdpa2p} καί^{c} προσεύχομαι^{vdpn2p} ἵνα^{c} μή^{xo} εἰσέρχομαι^{vsaa2p} εἰς^{p} πειρασμός^{nams} ὁ^{dnns} μέν^{xo} πνεῦμα^{nnns} πρόθυμος^{annsn} ὁ^{dnfs} δέ^{c} σάρξ^{nnfs} ἀσθενής^{anfsn}. **v.42** πάλιν^{bo} ἐκ^{p} δεύτερος^{agnsn} ἀπέρχομαι^{vpaanms} προσεύχομαι^{viad3s} λέγω^{vppanms} πατήρ^{nvms} ἐγώ$^{rpg-s}$ εἰ^{qo} οὐ^{xo} δύναμαι^{vipn3s} οὗτος^{rdnns} ὁ^{dnns} ποτήριον^{nnns} παρέρχομαι^{vnaa} ἀπό^{p} ἐγώ$^{rpg-s}$ ἐάν^{qo} μή^{xo} αὐτός^{rpans} πίνω^{vsaa1s} γίνομαι^{vdao3s} ὁ^{dnns} θέλημα^{nnns} σύ$^{rpg-s}$. **v.43** καί^{c} ἔρχομαι^{vpaanms} εὑρίσκω^{vipa3s} αὐτός^{rpamp} πάλιν^{bo} καθεύδω^{vppaamp} εἰμί^{viix3p} γάρ^{c} αὐτός^{rpgmp} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} βαρέω^{vpxpnmp}. **v.44** καί^{c} ἀφίημι^{vpaanms} αὐτός^{rpamp} ἀπέρχομαι^{vpaanms} πάλιν^{bo} προσεύχομαι^{viad3s} ἐκ^{p} τρίτος^{agnsn} ὁ^{dams} αὐτός^{rpams} λόγος^{nams} λέγω^{vpaanms}. **v.45** τότε^{bo} ἔρχομαι^{vipn3s} πρός^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} καθεύδω^{vipa2p} ὁ^{dans} λοιπός^{aansn} καί^{c} ἀναπαύω^{vipm2p} ἰδού^{vdaa2s} ἐγγίζω^{vixa3s} ὁ^{dnfs} ὥρα^{nnfs} καί^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vipp3s} εἰς^{p} χείρ^{nafp} ἁμαρτωλός^{agmpn}. **v.46** ἐγείρω^{vdpe2p} ἄγω^{vspa1p} ἰδού^{vdaa2s} ἐγγίζω^{vixa3s} ὁ^{dnms} παραδίδωμι^{vppanms} ἐγώ$^{rpa-s}$. **v.47** καί^{c} ἔτι^{bo} αὐτός^{rpgms} λαλέω^{vppagms} ἰδού^{vdaa2s} Ἰούδας^{nnms} εἷς^{nnms} ὁ^{dgmp} δώδεκα^{tn} ἔρχομαι^{viaa3s} καί^{c} μετά^{p} αὐτός^{rpgms} ὄχλος^{nnms} πολύς^{anmsn} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp} ἀπό^{p} ὁ^{dgmp} ἀρχιερεύς^{ngmp} καί^{c} πρεσβύτερος^{agmpn} ὁ^{dgms} λαός^{ngms}. **v.48** ὁ^{dnms} δέ^{c} παραδίδωμι^{vppanms} αὐτός^{rpams} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} σημεῖον^{nans} λέγω^{vppanms} ὅς^{rrams} ἄν^{xo} φιλέω^{vsaa1s} αὐτός^{rpnms} εἰμί^{vipx3s} κρατέω^{vdaa2p} αὐτός^{rpams}. **v.49** καί^{c} εὐθέως^{bo} προσέρχομαι^{vpaanms} ὁ^{ddms} Ἰησοῦς^{ndms} λέγω^{viaa3s} χαίρω^{vdpa2s} ῥαββίth καί^{c} καταφιλέω^{viaa3s} αὐτός^{rpams}. **v.50** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} ἑταῖρος^{nvms} ἐπί^{p} ὅς^{rrdns} πάρειμι^{vipx2s} τότε^{bo} προσέρχομαι^{vpaanmp} ἐπιβάλλω^{viaa3p} ὁ^{dafp} χείρ^{nafp} ἐπί^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} κρατέω^{viaa3p} αὐτός^{rpams}.

μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀπόστρεψον σου τὴν μάχαιράν εἰς 52
τὸν τόπον αὐτῆς, πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαί-
ρᾳ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι 53
τὸν πατέρα μου καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶ-
νας ἀγγέλων. πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ 54
γενέσθαι. Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις Ὡς 55
ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με
καθ ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ καὶ
οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν 56
αἱ γραφαὶ τῶν προφητῶν Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐ-
τὸν ἔφυγον. Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς 57
Καϊάφαν τὸν ἀρχιερέα ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι
συνήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως 58
τῆς αὐλῆς τοῦ ἀρχιερέως καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑ-
πηρετῶν ἰδεῖν τὸ τέλος. οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ 59
τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ
ὅπως αὐτὸν θανατώσωσιν. καὶ οὐχ εὗρον καὶ πολλῶν ψευδο- 60
μαρτύρων προσελθόντων οὐχ εὗρον, ὕστερον δὲ προσελθόντες

---

v.51 καί^{c} ἰδού^{vdaa2s} εἷς^{nnms} ὁ^{dgmp} μετά^{p} Ἰησοῦς^{ngms} ἐκτείνω^{vpaanfs} ὁ^{dafs} χείρ^{nafs} ἀποσπάω^{viaa3s} ὁ^{dafs} μάχαιρα^{nafs} αὐτός^{rpgms} καί^{c} πατάσσω^{vpaanms} ὁ^{dams} δοῦλος^{nams} ὁ^{dgms} ἀρχιερεύς^{ngms} ἀφαιρέω^{viaa3s} αὐτός^{rpgms} ὁ^{dans} ὠτίον^{nans}. **v.52** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀποστρέφω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dafs} μάχαιρα^{nafs} εἰς^{p} ὁ^{dams} τόπος^{nams} αὐτός^{rpgfs} πᾶς^{anmpn} γάρ^{c} ὁ^{dnmp} λαμβάνω^{vpaanmp} μάχαιρα^{nafs} ἐν^{p} μάχαιρα^{ndfs} ἀπόλλυμι^{vifm3p}. **v.53** ἤ^{xo} δοκέω^{vipa2s} ὅτι^{c} οὐ^{xo} δύναμαι^{vipn1s} ἄρτι^{bo} παρακαλέω^{vnaa} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg-s}$ καί^{c} παρίστημι^{vifa3s} ἐγώ$^{rpd-s}$ πολύς^{aafpc} ἤ^{xo} δώδεκα^{tn} λεγιών^{namp} ἄγγελος^{ngmp}. **v.54** πῶς^{bo} οὖν^{c} πληρόω^{vsap3p} ὁ^{dnfp} γραφή^{nnfp} ὅτι^{c} οὕτω^{bo} δεῖ^{vipq3s} γίνομαι^{vnad}. **v.55** ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ὥρα^{ndfs} λέγω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{ddmp} ὄχλος^{ndmp} ὡς^{bo} ἐπί^{p} λῃστής^{nams} ἐξέρχομαι^{viaa2p} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp} συλλαμβάνω^{vnaa} ἐγώ$^{rpa-s}$ κατά^{p} ἡμέρα^{nafs} πρός^{p} σύ$^{rpa-p}$ καθέζομαι^{viin1s} διδάσκω^{vppanms} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} καί^{c} οὐ^{xo} κρατέω^{viaa2p} ἐγώ$^{rpa-s}$. **v.56** οὗτος^{rdnns} δέ^{c} ὅλος^{annsn} γίνομαι^{vixa3s} ἵνα^{c} πληρόω^{vsap3p} ὁ^{dnfp} γραφή^{nnfp} ὁ^{dgmp} προφήτης^{ngmp} τότε^{bo} ὁ^{dnmp} μαθητής^{nnmp} πᾶς^{anmpn} ἀφίημι^{vpaanmp} αὐτός^{rpams} φεύγω^{viaa3p}. **v.57** ὁ^{dnmp} δέ^{c} κρατέω^{vpaanmp} ὁ^{dams} Ἰησοῦς^{nams} ἀπάγω^{viaa3p} πρός^{p} Καϊάφας^{nams} ὁ^{dams} ἀρχιερεύς^{nams} ὅπου^{bo} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} συνάγω^{viap3p}. **v.58** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} ἀκολουθέω^{viia3s} αὐτός^{rpdms} ἀπό^{p} μακρόθεν^{bo} ἕως^{c} ὁ^{dgfs} αὐλή^{ngfs} ὁ^{dgms} ἀρχιερεύς^{ngms} καί^{c} εἰσέρχομαι^{vpaanms} ἔσω^{bo} κάθημαι^{viin3s} μετά^{p} ὁ^{dgmp} ὑπηρέτης^{ngmp} ὁράω^{vnaa} ὁ^{dans} τέλος^{nans}. **v.59** ὁ^{dnmp} δέ^{c} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} καί^{c} ὁ^{dnns} συνέδριον^{nnns} ὅλος^{annsn} ζητέω^{viia3p} ψευδομαρτυρία^{nafs} κατά^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ὅπως^{bo} αὐτός^{rpams} θανατόω^{vsaa3p}.

61 δύο ψευδομάρτυρες. εἶπον, Οὗτος ἔφη Δύναμαι καταλῦσαι
τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.
62 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ Οὐδὲν ἀποκρίνῃ τί οὗτοί
63 σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς ἐσιώπα καὶ ἀποκριθεὶς ὁ
ἀρχιερεὺς εἶπεν αὐτῷ Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος
64 ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ
ὁ Ἰησοῦς Σὺ εἶπας, πλὴν λέγω ὑμῖν ἀπ ἄρτι ὄψεσθε τὸν υἱὸν
τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμε-
65 νον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. τότε ὁ ἀρχιερεὺς διέρρηξεν
τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι Ἐβλασφήμησεν, τί ἔτι χρείαν ἔχο-
66 μεν μαρτύρων ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν, αὐτοῦ, τί
ὑμῖν δοκεῖ οἱ δὲ ἀποκριθέντες εἶπον, Ἔνοχος θανάτου ἐστίν.
67 Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐ-
68 τόν οἱ δὲ ἐρράπισαν, λέγοντες Προφήτευσον ἡμῖν Χριστέ τίς
69 ἐστιν ὁ παίσας σε. Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ, καὶ
προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα Καὶ σὺ ἦσθα μετὰ Ἰη-
70 σοῦ τοῦ Γαλιλαίου. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων
71 Οὐκ οἶδα τί λέγεις. ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν
αὐτὸν ἄλλη καὶ λέγει τοῖς ἐκεῖ καὶ Οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ

---

v.60 καί^{c} οὐ^{xo} εὑρίσκω^{viaa3p} καί^{c} πολύς^{agmpn} ψευδόμαρτυς^{ngmp} προσέρχομαι^{vpaagmp} οὐ^{xo} εὑρίσκω^{viaa3p} ὕστερος^{bo} δέ^{c} προσέρχομαι^{vpaanmp} δύο^{tn} ψευδόμαρτυς^{nnmp}. **v.61** λέγω^{viaa3p} οὗτος^{rdnms} φημί^{viix3s} δύναμαι^{vipn1s} καταλύω^{vnaa} ὁ^{dams} ναός^{nams} ὁ^{dgms} θεός^{ngms} καί^{c} διά^{p} τρεῖς^{ngfp} ἡμέρα^{ngfp} οἰκοδομέω^{vnaa} αὐτός^{rpams}. **v.62** καί^{c} ἀνίστημι^{vpaanms} ὁ^{dnms} ἀρχιερεύς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} οὐδείς^{aansn} ἀποκρίνομαι^{vipn2s} τίς^{rqans} οὗτος^{rdnmp} σύ$^{rpg-s}$ καταμαρτυρέω^{vipa3p}. **v.63** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} σιωπάω^{viia3s} καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} ἀρχιερεύς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐξορκίζω^{vipa1s} σύ$^{rpa-s}$ κατά^{p} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ζάω^{vppagms} ἵνα^{c} ἐγώ$^{rpd-p}$ λέγω^{vsaa2s} εἰ^{qo} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.64** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} σύ$^{rpn-s}$ λέγω^{viaa2s} πλήν^{bo} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀπό^{p} ἄρτι^{bo} ὁράω^{vifd2p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} κάθημαι^{vppnams} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgfs} δύναμις^{ngfs} καί^{c} ἔρχομαι^{vppnams} ἐπί^{p} ὁ^{dgfp} νεφέλη^{ngfp} ὁ^{dgms} οὐρανός^{ngms}. **v.65** τότε^{bo} ὁ^{dnms} ἀρχιερεύς^{nnms} διαρρήγνυμι^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} λέγω^{vppanms} ὅτι^{c} βλασφημέω^{viaa3s} τίς^{rqans} ἔτι^{bo} χρεία^{nafs} ἔχω^{vipa1p} μάρτυς^{ngmp} ἴδε^{i} νῦν^{bo} ἀκούω^{viaa2p} ὁ^{dafs} βλασφημία^{nafs} αὐτός^{rpgms}. **v.66** τίς^{rqans} σύ$^{rpd-p}$ δοκέω^{vipa3s} ὁ^{dnmp} δέ^{c} ἀποκρίνομαι^{vpaonmp} λέγω^{viaa3p} ἔνοχος^{anmsn} θάνατος^{ngms} εἰμί^{vipx3s}. **v.67** τότε^{bo} ἐμπτύω^{viaa3p} εἰς^{p} ὁ^{dans} πρόσωπον^{nans} αὐτός^{rpgms} καί^{c} κολαφίζω^{viaa3p} αὐτός^{rpams} ὁ^{dnmp} δέ^{c} ῥαπίζω^{viaa3p}. **v.68** λέγω^{vppanmp} προφητεύω^{vdaa2s} ἐγώ$^{rpd-p}$ Χριστός^{nvms} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} παίω^{vpaanms} σύ$^{rpa-s}$. **v.69** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} ἔξω^{bo} κάθημαι^{viin3s} ἐν^{p} ὁ^{ddfs} αὐλή^{ndfs} καί^{c} προσέρχομαι^{viaa3s} αὐτός^{rpdms} εἷς^{nnfs} παιδίσκη^{nnfs} λέγω^{vppanfs} καί^{c} σύ$^{rpn-s}$ εἰμί^{viix2s} μετά^{p} Ἰησοῦς^{ngms} ὁ^{dgms} Γαλιλαῖος^{ngms}. **v.70** ὁ^{dnms} δέ^{c} ἀρνέομαι^{viad3s} ἔμπροσθεν^{p} πᾶς^{agmpn} λέγω^{vppanms} οὐ^{xo} οἶδα^{vixa1s} τίς^{rqans} λέγω^{vipa2s}.

Ναζωραίου. καὶ πάλιν ἠρνήσατο μεʼθ ὅρκου ὅτι Οὐκ οἶδα τὸν 72
ἄνθρωπον. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ 73
Πέτρῳ Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε
ποιεῖ. τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα 74
τὸν ἄνθρωπον καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. καὶ ἐμνήσθη ὁ 75
Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι Πρὶν ἀλέ-
κτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με, καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν
πικρῶς.

Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιε- **27**
ρεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανα- 2
τῶσαι αὐτόν, καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν
αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παρα- 3
διδοὺς αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς ἀπέστρεψέν τὰ τριά-
κοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρεσβυτέροις. λέγων 4
Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς σὺ
ὄψει.. καὶ ῥίψας τὰ ἀργύρια ἔν τῷ ναῷ ἀνεχώρησεν καὶ ἀ- 5
πελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον, 6
Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν ἐπεὶ τιμὴ αἵματός
ἐστιν. συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν Ἀγρὸν 7
τοῦ Κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐ- 8

---

v.71 ἐξέρχομαι^{vpaaams} δέ^{c} αὐτός^{rpams} εἰς^{p} ὁ^{dams} πυλών^{nams} ὁράω^{viaa3s} αὐτός^{rpams} ἄλλος^{anfsn} καί^{c} λέγω^{vipa3s} ὁ^{ddmp} ἐκεῖ^{bo} καί^{c} οὗτος^{rdnms} εἰμί^{viix3s} μετά^{p} Ἰησοῦς^{ngms} ὁ^{dgms} Ναζωραῖος^{ngms}. **v.72** καί^{c} πάλιν^{bo} ἀρνέομαι^{viad3s} μετά^{p} ὅρκος^{ngms} ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.73** μετά^{p} μικρός^{aansn} δέ^{c} προσέρχομαι^{vpaanmp} ὁ^{dnmp} ἵστημι^{vpxanmp} λέγω^{viaa3p} ὁ^{ddms} Πέτρος^{ndms} ἀληθῶς^{bo} καί^{c} σύ$^{rpn-s}$ ἐκ^{p} αὐτός^{rpgmp} εἰμί^{vipx2s} καί^{c} γάρ^{c} ὁ^{dnfs} λαλιά^{nnfs} σύ$^{rpg-s}$ δῆλος^{aamsn} σύ$^{rpa-s}$ ποιέω^{vipa3s}. **v.74** τότε^{bo} ἄρχω^{viad3s} καταθεματίζω^{vnpa} καί^{c} ὀμνύω^{vnpa} ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dams} ἄνθρωπος^{nams} καί^{c} εὐθέως^{bo} ἀλέκτωρ^{nnms} φωνέω^{viaa3s}. **v.75** καί^{c} μιμνήσκομαι^{viap3s} ὁ^{dnms} Πέτρος^{nnms} ὁ^{dgns} ῥῆμα^{ngns} ὁ^{dgms} Ἰησοῦς^{ngms} λέγω^{vpxagns} αὐτός^{rpdms} ὅτι^{c} πρίν^{bo} ἀλέκτωρ^{nams} φωνέω^{vnaa} τρίς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa-s}$ καί^{c} ἐξέρχομαι^{vpaanms} ἔξω^{bo} κλαίω^{viaa3s} πικρῶς^{bo}. **27. v.1** πρωΐα^{ngfs} δέ^{c} γίνομαι^{vpadgfs} συμβούλιον^{nans} λαμβάνω^{viaa3p} πᾶς^{anmpn} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} ὁ^{dgms} λαός^{ngms} κατά^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ὥστε^{c} θανατόω^{vnaa} αὐτός^{rpams}. **v.2** καί^{c} δέω^{vpaanmp} αὐτός^{rpams} ἀπάγω^{viaa3p} καί^{c} παραδίδωμι^{viaa3p} αὐτός^{rpams} Πόντιος^{ndms} Πιλᾶτος^{ndms} ὁ^{ddms} ἡγεμών^{ndms}. **v.3** τότε^{bo} ὁράω^{vpaanms} Ἰούδας^{nnms} ὁ^{dnms} παραδίδωμι^{vppanms} αὐτός^{rpams} ὅτι^{c} κατακρίνω^{viap3s} μεταμέλομαι^{vpaonms} ἀποστρέφω^{viaa3s} ὁ^{danp} τριάκοντα^{tn} ἀργύριον^{nanp} ὁ^{ddmp} ἀρχιερεύς^{ndmp} καί^{c} ὁ^{ddmp} πρεσβύτερος^{admpn}. **v.4** λέγω^{vppanms} ἁμαρτάνω^{viaa1s} παραδίδωμι^{vpaanms} αἷμα^{nans} ἀθῷος^{aansn} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} τίς^{rqnns} πρός^{p} ἐγώ$^{rpa-p}$ σύ$^{rpn-s}$ ὀπτάνομαι^{vifd2s}. **v.5** καί^{c} ῥίπτω^{vpaanms} ὁ^{danp} ἀργύριον^{nanp} ἐν^{p} ὁ^{ddms} ναός^{ndms} ἀναχωρέω^{viaa3s} καί^{c} ἀπέρχομαι^{vpaanms} ἀπάγχω^{viam3s}. **v.6** ὁ^{dnmp} δέ^{c} ἀρχιερεύς^{nnmp} λαμβάνω^{vpaanmp} ὁ^{danp} ἀργύριον^{nanp} λέγω^{viaa3p} οὐ^{xo} ἔξεστι^{vipq3s} βάλλω^{vnaa} αὐτός^{rpanp} εἰς^{p} ὁ^{dams} κορβανᾶς^{nams} ἐπεί^{c} τιμή^{nnfs} αἷμα^{ngns} εἰμί^{vipx3s}. **v.7** συμβούλιον^{nans} δέ^{c} λαμβάνω^{vpaanmp} ἀγοράζω^{viaa3p} ἐκ^{p} αὐτός^{rpgnp} ὁ^{dams} ἀγρός^{nams} ὁ^{dgms} κεραμεύς^{ngms} εἰς^{p} ταφή^{nafs} ὁ^{ddmp} ξένος^{admpn}.

9 κεῖνος Ἀγρὸς Αἵματος ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ
ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος Καὶ ἔλαβον τὰ τρι-
ἀκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ
10 υἱῶν Ἰσραήλ. καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως
11 καθὰ συνέταξέν μοι κύριος. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν
τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων Σὺ εἶ ὁ
12 βασιλεὺς τῶν Ἰουδαίων ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ Σὺ λέγεις. καὶ
ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρε-
13 σβυτέρων οὐδὲν ἀπεκρίνατο. τότε λέγει αὐτῷ ὁ Πιλᾶτος Οὐκ
14 ἀκούεις πόσα σου καταμαρτυροῦσιν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ
15 πρὸς οὐδὲ ἓν ῥῆμα ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κα-
τὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον
16 ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βα-
17 ραββᾶν. συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος Τίνα
θέλετε ἀπολύσω ὑμῖν Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χρι-
18, 19 στόν. ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου
δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ
λέγουσα Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον
20 σήμερον κατ ὄναρ δι᾽ αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύ-
τεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν τὸν

---

v.8 διό^{c} καλέω^{viap3s} ὁ^{dnms} ἀγρός^{nnms} ἐκεῖνος^{rdnms} ἀγρός^{nnms} αἷμα^{ngns} ἕως^{c} ὁ^{dgfs} σήμερον^{bo}. **v.9** τότε^{bo} πληρόω^{viap3s} ὁ^{dnns} λέγω^{vpapnns} διά^{p} Ἰερεμίας^{ngms} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagns} καί^{c} λαμβάνω^{viaa3p} ὁ^{danp} τριάκοντα^{tn} ἀργύριον^{nanp} ὁ^{dafs} τιμή^{nafs} ὁ^{dgms} τιμάω^{vpxpgms} ὅς^{rrams} τιμάω^{viam3p} ἀπό^{p} υἱός^{ngmp} Ἰσραήλ^{tp}. **v.10** καί^{c} δίδωμι^{viaa3p} αὐτός^{rpanp} εἰς^{p} ὁ^{dams} ἀγρός^{nams} ὁ^{dgms} κεραμεύς^{ngms} καθά^{bo} συντάσσω^{viaa3s} ἐγώ$^{rpd-s}$ κύριος^{nnms}. **v.11** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἵστημι^{viaa3s} ἔμπροσθεν^{p} ὁ^{dgms} ἡγεμών^{ngms} καί^{c} ἐπερωτάω^{viaa3s} αὐτός^{rpams} ὁ^{dnms} ἡγεμών^{nnms} λέγω^{vppanms} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} φημί^{viix3s} αὐτός^{rpdms} σύ$^{rpn-s}$ λέγω^{vipa2s}. **v.12** καί^{c} ἐν^{p} ὁ^{ddms} κατηγορέω^{vnpp} αὐτός^{rpams} ὑπό^{p} ὁ^{dgmp} ἀρχιερεύς^{ngmp} καί^{c} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} οὐδείς^{aansn} ἀποκρίνομαι^{viad3s}. **v.13** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Πιλᾶτος^{nnms} οὐ^{xo} ἀκούω^{vipa2s} πόσος^{roanp} σύ$^{rpg-s}$ καταμαρτυρέω^{vipa3p}. **v.14** καί^{c} οὐ^{xo} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} πρός^{p} οὐδέ^{bo} εἷς^{nans} ῥῆμα^{nans} ὥστε^{c} θαυμάζω^{vnpa} ὁ^{dams} ἡγεμών^{nams} λίαν^{bo}. **v.15** κατά^{p} δέ^{c} ἑορτή^{nafs} εἴωθα^{viya3s} ὁ^{dnms} ἡγεμών^{nnms} ἀπολύω^{vnpa} εἷς^{nams} ὁ^{ddms} ὄχλος^{ndms} δέσμιος^{nams} ὅς^{rrams} θέλω^{viia3p}. **v.16** ἔχω^{viia3p} δέ^{c} τότε^{bo} δέσμιος^{nams} ἐπίσημος^{aamsn} λέγω^{vpppams} Βαραββᾶς^{nams}. **v.17** συνάγω^{vpxpgmp} οὖν^{c} αὐτός^{rpgmp} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Πιλᾶτος^{nnms} τίς^{rqams} θέλω^{vipa2p} ἀπολύω^{vsaa1s} σύ$^{rpd-p}$ Βαραββᾶς^{nams} ἤ^{xo} Ἰησοῦς^{nams} ὁ^{dams} λέγω^{vpppams} Χριστός^{nams}. **v.18** οἶδα^{viya3s} γάρ^{c} ὅτι^{c} διά^{p} φθόνος^{nams} παραδίδωμι^{viaa3p} αὐτός^{rpams}. **v.19** κάθημαι^{vppngms} δέ^{c} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dgns} βῆμα^{ngns} ἀποστέλλω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnfs} γυνή^{nnfs} αὐτός^{rpgms} λέγω^{vppanfs} μηδείς^{annsn} σύ$^{rpd-s}$ καί^{c} ὁ^{ddms} δίκαιος^{admsn} ἐκεῖνος^{rddms} πολύς^{aanpn} γάρ^{c} πάσχω^{viaa1s} σήμερον^{bo} κατά^{p} ὄναρ^{to} διά^{p} αὐτός^{rpams}.

δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς 21
Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν οἱ δὲ εἶπον, Βαραββᾶν.
λέγει αὐτοῖς ὁ Πιλᾶτος Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον 22
Χριστόν λέγουσιν αὐτῷ πάντες Σταυρωθήτω. ὁ δὲ ἡγεμὼν ἔφη 23
Τί γὰρ κακὸν ἐποίησεν οἱ δὲ περισσῶς ἔκραζον λέγοντες Σταυ-
ρωθήτω. ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον 24
θόρυβος γίνεται λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι
τοῦ ὄχλου λέγων Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τού-
του, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν Τὸ αἷμα 25
αὐτοῦ ἐφ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐ- 26
τοῖς τὸν Βαραββᾶν τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν ἵνα
σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες 27
τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ αὐτὸν ὅλην τὴν
σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα 28
κοκκίνην. καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ 29
τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ καὶ γο-
νυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες Χαῖρε
ὁ βασιλεῦς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον 30
τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε 31
ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐ-

---

v.20 ὁ^dnmp δέ^c ἀρχιερεύς^nnmp καί^c ὁ^dnmp πρεσβύτερος^anmpn πείθω^viaa3p ὁ^damp ὄχλος^namp ἵνα^c αἰτέω^vsam3p ὁ^dams Βαραββᾶς^nams ὁ^dams δέ^c Ἰησοῦς^nams ἀπόλλυμι^vsaa3p. **v.21** ἀποκρίνομαι^vpaonms δέ^c ὁ^dnms ἡγεμών^nnms λέγω^viaa3s αὐτός^rpdmp τίς^rqams θέλω^vipa2p ἀπό^p ὁ^dgmp δύο^tn ἀπολύω^vsaa1s σύ^rpd-p ὁ^dnmp δέ^c λέγω^viaa3p Βαραββᾶς^nams. **v.22** λέγω^vipa3s αὐτός^rpdmp ὁ^dnms Πιλᾶτος^nnms τίς^rqans οὖν^c ποιέω^vifa1s Ἰησοῦς^nams ὁ^dams λέγω^vpppams Χριστός^nams λέγω^vipa3p αὐτός^rpdms πᾶς^anmpn σταυρόω^vdap3s. **v.23** ὁ^dnms δέ^c ἡγεμών^nnms φημί^viix3s τίς^rqans γάρ^c κακός^aansn ποιέω^viaa3s ὁ^dnmp δέ^c περισσῶς^bo κράζω^viia3p λέγω^vppanmp σταυρόω^vdap3s. **v.24** ὁράω^vpaanms δέ^c ὁ^dnms Πιλᾶτος^nnms ὅτι^c οὐδείς^aansn ὠφελέω^vipa3s ἀλλά^c μᾶλλον^bo θόρυβος^nnms γίνομαι^vipn3s λαμβάνω^vpaanms ὕδωρ^nans ἀπονίζω^viam3s ὁ^dafp χείρ^nafp ἀπέναντι^bo ὁ^dgms ὄχλος^ngms λέγω^vppanms ἀθῷος^anmsn εἰμί^vipx1s ἀπό^p ὁ^dgns αἷμα^ngns ὁ^dgms δίκαιος^agmsn οὗτος^rdgms σύ^rpn-p ὁράω^vifd2p. **v.25** καί^c ἀποκρίνομαι^vpaonms πᾶς^anmsn ὁ^dnms λαός^nnms λέγω^viaa3s ὁ^dnns αἷμα^nnns αὐτός^rpgms ἐπί^p ἐγώ^rpa-p καί^c ἐπί^p ὁ^danp τέκνον^nanp ἐγώ^rpg-p. **v.26** τότε^bo ἀπολύω^viaa3s αὐτός^rpdmp ὁ^dams Βαραββᾶς^nams ὁ^dams δέ^c Ἰησοῦς^nams φραγελλόω^vpaanms παραδίδωμι^viaa3s ἵνα^c σταυρόω^vsap3s. **v.27** τότε^bo ὁ^dnmp στρατιώτης^nnmp ὁ^dgms ἡγεμών^ngms παραλαμβάνω^vpaanmp ὁ^dams Ἰησοῦς^nams εἰς^p ὁ^dans πραιτώριον^nans συνάγω^viaa3p ἐπί^p αὐτός^rpams ὅλος^aafsn ὁ^dafs σπεῖρα^nafs. **v.28** καί^c ἐκδύω^vpaanmp αὐτός^rpams περιτίθημι^viaa3p αὐτός^rpdms χλαμύς^nafs κόκκινος^aafsn. **v.29** καί^c πλέκω^vpaanmp στέφανος^nams ἐκ^p ἄκανθα^ngfp ἐπιτίθημι^viaa3p ἐπί^p ὁ^dafs κεφαλή^nafs αὐτός^rpgms καί^c κάλαμος^nams ἐπί^p ὁ^dafs δεξιός^aafsn αὐτός^rpgms καί^c γονυπετέω^vpaanmp ἔμπροσθεν^p αὐτός^rpgms ἐμπαίζω^viia3p αὐτός^rpdms λέγω^vppanmp χαίρω^vdpa2s ὁ^dnms βασιλεύς^nnms ὁ^dgmp Ἰουδαῖος^agmpn. **v.30** καί^c ἐμπτύω^vpaanmp εἰς^p αὐτός^rpams λαμβάνω^viaa3p ὁ^dams κάλαμος^nams καί^c τύπτω^viia3p εἰς^p ὁ^dafs κεφαλή^nafs αὐτός^rpgms.

τὸν τὰ ἱμάτια αὐτοῦ καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.
32 Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα
33 τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόν-
τες εἰς τόπον λεγόμενον Γολγοθᾶ ὅς ἐστιν λεγόμενος Κρανίου
34 Τόπος. ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον, καὶ
35 γευσάμενος οὐκ ἤθελεν πιεῖν. σταυρώσαντες δὲ αὐτὸν διε-
μερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἵνα πληρωθῇ τὸ
ῥηθὲν ὑπὸ τοῦ προφήτου, διεμερίσαντο τὰ ἱμάτια μου ἑαυτοῖς,
36 καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, καὶ καθήμενοι ἐ-
37 τήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ
τὴν αἰτίαν αὐτοῦ γεγραμμένην, Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεῦς
38 τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί εἷς ἐκ
39 δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλα-
40 σφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν. καὶ λέγοντες
Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν σῶσον
41 σεαυτόν εἰ υἱὸς εἶ τοῦ θεοῦ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁ-
μοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων
42 καὶ πρεσβυτέρων ἔλεγον. Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται
σῶσαι, εἰ βασιλεὺς Ἰσραήλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ σταυ-
43 ροῦ καὶ πιστεύσομεν αὐτῷ. πέποιθεν ἐπὶ τὸν θεόν ῥυσάσθω

---

v.31 καί^{c} ὅτε^{bo} ἐμπαίζω^{viaa3p} αὐτός^{rpdms} ἐκδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{dafs} χλαμύς^{nafs} καί^{c} ἐνδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} καί^{c} ἀπάγω^{viaa3p} αὐτός^{rpams} εἰς^{p} ὁ^{dans} σταυρόω^{vnaa}. **v.32** ἐξέρχομαι^{vppnnmp} δέ^{c} εὑρίσκω^{viaa3p} ἄνθρωπος^{nams} Κυρηναῖος^{nams} ὄνομα^{ndns} Σίμων^{nams} οὗτος^{rdams} ἀγγαρεύω^{viaa3p} ἵνα^{c} αἴρω^{vsaa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms}. **v.33** καί^{c} ἔρχομαι^{vpaanmp} εἰς^{p} τόπος^{nams} λέγω^{vpppams} Γολγοθᾶ^{nafs} ὅς^{rrnms} εἰμί^{vipx3s} λέγω^{vpppnms} κρανίον^{ngns} τόπος^{nnms}. **v.34** δίδωμι^{viaa3p} αὐτός^{rpdms} πίνω^{vnaa} ὄξος^{nans} μετά^{p} χολή^{ngfs} μίγνυμι^{vpxpans} καί^{c} γεύομαι^{vpadnms} οὐ^{xo} θέλω^{viia3s} πίνω^{vnaa}. **v.35** σταυρόω^{vpaanmp} δέ^{c} αὐτός^{rpams} διαμερίζω^{viam3p} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} βάλλω^{vppanmp} κλῆρος^{nams} ἵνα^{c} πληρόω^{vsap3s} ὁ^{dnns} λέγω^{vpapnns} ὑπό^{p} ὁ^{dgms} προφήτης^{ngms} διαμερίζω^{viam3p} ὁ^{danp} ἱμάτιον^{nanp} ἐγώ$^{rpg-s}$ ἑαυτοῦ^{rxdmp} καί^{c} ἐπί^{p} ὁ^{dams} ἱματισμός^{nams} ἐγώ$^{rpg-s}$ βάλλω^{viaa3p} κλῆρος^{nams}. **v.36** καί^{c} κάθημαι^{vppnnmp} τηρέω^{viia3p} αὐτός^{rpams} ἐκεῖ^{bo}. **v.37** καί^{c} ἐπιτίθημι^{viaa3p} ἐπάνω^{bo} ὁ^{dgfs} κεφαλή^{ngfs} αὐτός^{rpgms} ὁ^{dafs} αἰτία^{nafs} αὐτός^{rpgms} γράφω^{vpxpafs} οὗτος^{rdnms} εἰμί^{vipx3s} Ἰησοῦς^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.38** τότε^{bo} σταυρόω^{vipp3p} σύν^{p} αὐτός^{rpdms} δύο^{tn} λῃστής^{nnmp} εἷς^{nnms} ἐκ^{p} δεξιός^{agmpn} καί^{c} εἷς^{nnms} ἐκ^{p} εὐώνυμος^{agmpn}. **v.39** ὁ^{dnmp} δέ^{c} παραπορεύομαι^{vppnnmp} βλασφημέω^{viia3p} αὐτός^{rpams} κινέω^{vppanmp} ὁ^{dafp} κεφαλή^{nafp} αὐτός^{rpgmp}. **v.40** καί^{c} λέγω^{vppanmp} ὁ^{dnms} καταλύω^{vppanms} ὁ^{dams} ναός^{nams} καί^{c} ἐν^{p} τρεῖς^{ndfp} ἡμέρα^{ndfp} οἰκοδομέω^{vppanms} σῴζω^{vdaa2s} σεαυτοῦ^{rxams} εἰ^{qo} υἱός^{nnms} εἰμί^{vipx2s} ὁ^{dgms} θεός^{ngms} καταβαίνω^{vdaa2s} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms}. **v.41** ὁμοίως^{bo} δέ^{c} καί^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} ἐμπαίζω^{vppanmp} μετά^{p} ὁ^{dgmp} γραμματεύς^{ngmp} καί^{c} πρεσβύτερος^{agmpn} λέγω^{viia3p}. **v.42** ἄλλος^{aampn} σῴζω^{viaa3s} ἑαυτοῦ^{rxams} οὐ^{xo} δύναμαι^{vipn3s} σῴζω^{vnaa} εἰ^{qo} βασιλεύς^{nnms} Ἰσραήλ^{tp} εἰμί^{vipx3s} καταβαίνω^{vdaa3s} νῦν^{bo} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms} καί^{c} πιστεύω^{vifa1p} αὐτός^{rpdms}.

νῦν αὐτόν, εἰ θέλει αὐτόν, εἶπεν γὰρ ὅτι Θεοῦ εἰμι υἱός. τὸ 44
δ αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτῷ.
Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας 45
ἐννάτης. περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φω- 46
νῇ μεγάλῃ λέγων Ηλι ηλι λαμὰ σαβαχθανι τοῦτ ἔστιν Θεέ μου
θεέ μου ἱνατί με ἐγκατέλιπες. τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀ- 47
κούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. καὶ εὐθέως δραμὼν 48
εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς
καλάμῳ ἐπότιζεν αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον Ἄφες ἴδωμεν εἰ 49
ἔρχεται Ἠλίας σώσων αὐτόν. ὁ δὲ Ἰησοῦς πάλιν κράξας φω- 50
νῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ 51
ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω καὶ ἡ γῆ ἐσείσθη
καὶ αἱ πέτραι ἐσχίσθησαν. καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ 52
πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόν- 53
τες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν
ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος 54
καὶ οἱ μετ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν ἰδόντες τὸν σεισμὸν καὶ
τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγοντες Ἀληθῶς θεοῦ υἱ-
ὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν 55
θεωροῦσαι αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας

---

v.43 πείθω^{vixa3s} ἐπί^{p} ὁ^{dams} θεός^{nams} ῥύομαι^{vdad3s} νῦν^{bo} αὐτός^{rpams} εἰ^{qo} θέλω^{vipa3s} αὐτός^{rpams} λέγω^{viaa3s} γάρ^{c} ὅτι^{c} θεός^{ngms} εἰμί^{vipx1s} υἱός^{nnms}. **v.44** ὁ^{dans} δέ^{c} αὐτός^{rpans} καί^{c} ὁ^{dnmp} λῃστής^{nnmp} ὁ^{dnmp} συσταυρόω^{vpapnmp} αὐτός^{rpdms} ὀνειδίζω^{viia3p} αὐτός^{rpdms}. **v.45** ἀπό^{p} δέ^{c} ἕκτος^{agfsn} ὥρα^{ngfs} σκότος^{nnns} γίνομαι^{viad3s} ἐπί^{p} πᾶς^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἕως^{c} ὥρα^{ngfs} ἔνατος^{agfsn}. **v.46** περί^{p} δέ^{c} ὁ^{dafs} ἔνατος^{aafsn} ὥρα^{nafs} ἀναβοάω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanms} ἠλίth ἠλίth λεμαth σαβαχθάνι^{ta} οὗτος^{rdnns} εἰμί^{vipxqe} θεός^{nvms} ἐγώ$^{rpg-s}$ θεός^{nvms} ἐγώ$^{rpg-s}$ ἱνατί^{bo} ἐγώ$^{rpa-s}$ ἐγκαταλείπω^{viaa2s}. **v.47** τι-σρινμπ δέ^{c} ὁ^{dgmp} ἐκεῖ^{bo} ἵστημι^{vpxagmp} ἀκούω^{vpaanmp} λέγω^{viia3p} ὅτι^{c} Ἠλίας^{nams} φωνέω^{vipa3s} οὗτος^{rdnms}. **v.48** καί^{c} εὐθέως^{bo} τρέχω^{vpaanms} εἷς^{nnms} ἐκ^{p} αὐτός^{rpgmp} καί^{c} λαμβάνω^{vpaanms} σπόγγος^{nams} πίμπλημι^{vpaanms} τέ^{xo} ὄξος^{ngns} καί^{c} περιτίθημι^{vpaanms} κάλαμος^{ndms} ποτίζω^{viia3s} αὐτός^{rpams}. **v.49** ὁ^{dnmp} δέ^{c} λοιπός^{anmpn} λέγω^{viia3p} ἀφίημι^{vdaa2s} ὁράω^{vsaa1p} εἰ^{qo} ἔρχομαι^{vipn3s} Ἠλίας^{nnms} σῴζω^{vpfanms} αὐτός^{rpams}. **v.50** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} πάλιν^{bo} κράζω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} ἀφίημι^{viaa3s} ὁ^{dans} πνεῦμα^{nans}. **v.51** καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnns} καταπέτασμα^{nnns} ὁ^{dgms} ναός^{ngms} σχίζω^{viap3s} εἷς^{p} δύο^{tn} ἀπό^{p} ἄνωθεν^{bo} ἕως^{c} κάτω^{bo} καί^{c} ὁ^{dnfs} γῆ^{nnfs} σείω^{viap3s} καί^{c} ὁ^{dnfp} πέτρα^{nnfp} σχίζω^{viap3p}. **v.52** καί^{c} ὁ^{dnmp} μνημεῖον^{nnnp} ἀνοίγω^{viap3p} καί^{c} πολύς^{annpn} σῶμα^{nnnp} ὁ^{dgmp} κοιμάομαι^{vpxpgmp} ἅγιος^{agmpn} ἐγείρω^{viap3s}. **v.53** καί^{c} ἐξέρχομαι^{vpaanmp} ἐκ^{p} ὁ^{dgnp} μνημεῖον^{ngnp} μετά^{p} ὁ^{dafs} ἔγερσις^{nafs} αὐτός^{rpgms} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἅγιος^{aafsn} πόλις^{nafs} καί^{c} ἐμφανίζω^{viap3p} πολύς^{admpn}. **v.54** ὁ^{dnms} δέ^{c} ἑκατοντάρχης^{nnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} τηρέω^{vppanmp} ὁ^{dams} Ἰησοῦς^{nams} ὁράω^{vpaanmp} ὁ^{dams} σεισμός^{nams} καί^{c} ὁ^{danp} γίνομαι^{vpadanp} φοβέομαι^{viao3p} σφόδρα^{bo} λέγω^{vppanmp} ἀληθῶς^{bo} θεός^{ngms} υἱός^{nnms} εἰμί^{viix3s} οὗτος^{rdnms}.

56 διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία
ἡ τοῦ Ἰακώβου καὶ Ἰωσὴ μήτηρ καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβε-
57 δαίου. Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ
Ἁριμαθαίας τοὔνομα Ἰωσήφ ὃς καὶ αὐτὸς ἐμαθήτευσεν τῷ Ἰη-
58 σοῦ, οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ
59 τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. καὶ λαβὼν τὸ
60 σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ. καὶ ἔθηκεν
αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ
καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν.
61 ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριά καθήμε-
62 ναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶν μετὰ τὴν
παρασκευήν συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς
63 Πιλᾶτον. λέγοντες Κύριε ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος
64 εἶπεν ἔτι ζῶν Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν ἀ-
σφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας μήποτε ἐλθόντες
οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσιν τῷ λαῷ
Ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς
65 πρώτης. ἔφη δὲ αὐτοῖς ὁ Πιλᾶτος Ἔχετε κουστωδίαν, ὑπάγετε
66 ἀσφαλίσασθε ὡς οἴδατε. οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν

---

v.55 εἰμίviix3p δέc ἐκεῖbo γυνήnnfp πολύςanfpn ἀπόp μακρόθενbo θεωρέωvppanfp ὅστιςrrnfp ἀκολουθέωviaa3p ὁddms Ἰησοῦςndms ἀπόp ὁdgfs Γαλιλαίαngfs διακονέωvppanfp αὐτόςrpdms. **v.56** ἐνp ὅςrrdfp εἰμίviix3s Μαρίαnnfs ὁdnfs Μαγδαληνήnnfs καίc Μαρίαnnfs ὁdnfs ὁdgms Ἰάκωβοςngms καίc Ἰωσῆςngms μήτηρnnfs καίc ὁdnfs μήτηρnnfs ὁdgmp υἱόςngmp Ζεβεδαῖοςngms. **v.57** ὄψιοςagfsn δέc γίνομαιvpadgfs ἔρχομαιviaa3s ἄνθρωποςnnms πλούσιοςanmsn ἀπόp Ἁριμαθαίαngfs ὁbo Ἰωσήφtp ὅςrrnms καίc αὐτόςrpnms μαθητεύωviaa3s ὁddms Ἰησοῦςndms. **v.58** οὗτοςrdnms προσέρχομαιvpaanms ὁddms Πιλᾶτοςndms αἰτέωviam3s ὁdans σῶμαnans ὁdgms Ἰησοῦςngms τότεbo ὁdnms Πιλᾶτοςnnms κελεύωviaa3s ἀποδίδωμιvnap ὁdans σῶμαnans. **v.59** καίc λαμβάνωvpaanms ὁdans σῶμαnans ὁdnms Ἰωσήφtp ἐντυλίσσωviaa3s αὐτόςrpans σινδόνndfs καθαρόςadfsn. **v.60** καίc τίθημιviaa3s αὐτόςrpans ἐνp ὁddns καινόςadnsn αὐτόςrpgms μνημεῖονndns ὅςrrans λατομέωviaa3s ἐνp ὁddfs πέτραndfs καίc προσκυλίωvpaanms λίθοςnams μέγαςaamsn ὁddfs θύραndfs ὁdgns μνημεῖονngns ἀπέρχομαιviaa3s. **v.61** εἰμίviix3s δέc ἐκεῖbo Μαρίαnnfs ὁdnfs Μαγδαληνήnnfs καίc ὁdnfs ἄλλοςanfsn Μαρίαnnfs κάθημαιvppnnfp ἀπέναντιbo ὁdgms τάφοςngms. **v.62** ὁddfs δέc ἐπαύριονbo ὅστιςrrnfs εἰμίvipx3s μετάp ὁdafs παρασκευήnafs συνάγωviap3p ὁdnmp ἀρχιερεύςnnmp καίc ὁdnmp Φαρισαῖοςnnmp πρόςp Πιλᾶτοςnams. **v.63** λέγωvppanmp κύριοςnvms μιμνῄσκομαιviap1p ὅτιc ἐκεῖνοςrdnms ὁdnms πλάνοςanmsn λέγωviaa3s ἔτιbo ζάωvppanms μετάp τρεῖςnafp ἡμέραnafp ἐγείρωvipp1s. **v.64** κελεύωvdaa2s οὖνc ἀσφαλίζωvnap ὁdams τάφοςnams ἕωςc ὁdgfs τρίτοςagfsn ἡμέραngfs μήποτεbo ἔρχομαιvpaanmp ὁdnmp μαθητήςnnmp αὐτόςrpgms νύξngfs κλέπτωvsaa3p αὐτόςrpams καίc λέγωvsaa3p ὁddms λαόςndms ἐγείρωviap3s ἀπόp ὁdgmp νεκρόςagmpn καίc εἰμίvifx3s ὁdnfs ἔσχατοςanfsn πλάνηnnfs χείρωνanfsc ὁdgfs πρῶτοςagfsn. **v.65** φημίviix3s δέc αὐτόςrpdmp ὁdnms Πιλᾶτοςnnms ἔχωvipa2p κουστωδίαnafs ὑπάγωvdpa2p ἀσφαλίζωvdad2p ὡςbo οἶδαvixa2p.

τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

28 Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθεν
Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριὰ θεωρῆσαι τὸν τάφον.
καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας, ἄγγελος γὰρ κυρίου καταβὰς 2
ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λίθον ἀπὸ τῆς θύρας,
νῆς πύλης, ὅτι πολλοί λέγω ὑμῖν ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ
25 ἰσχύσουσιν. ἀφ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλεί-
σῃ τὴν θύραν καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν
λέγοντες Κύριε Κύριε, ἄνοιξον ἡμῖν καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν
26 Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. τότε ἄρξεσθε λέγειν Ἐφάγομεν
ἐνώπιόν σου καὶ ἐπίομεν καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας,
27 καὶ ἐρεῖ λέγω ὑμῖν Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ, ἀπόστητε ἀπ
28 ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας. ἐκεῖ ἔσται ὁ κλαυθμὸς
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ
29 ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ
δυσμῶν καὶ ἀπὸ βορρᾶ καὶ νότου καὶ ἀνακλιθήσονται ἐν τῇ βα-
30 σιλείᾳ τοῦ θεοῦ. καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι καὶ
31 εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι. Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν
τινες Φαρισαῖοι λέγοντες αὐτῷ Ἔξελθε καὶ πορεύου ἐντεῦθεν
32 ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι. καὶ εἶπεν αὐτοῖς Πορευθέν-
τες εἴπατε τῇ ἀλώπεκι ταύτῃ Ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις

---

v.21 ὅμοιος^{anfsn} εἰμί^{vipx3s} ζύμη^{ndfs} ὅς^{rrafs} λαμβάνω^{vpaanfs} γυνή^{nnfs} ἐγκρύπτω^{viaa3s} εἰς^{p} ἄλευρον^{ngns} σάτον^{nanp} τρεῖς^{nanp} ἕως^{c} ὅς^{bo} ζυμόω^{viap3s} ὅλος^{aansn}. **v.22** καί^{c} διαπορεύομαι^{viin3s} κατά^{p} πόλις^{nafp} καί^{c} κώμη^{nafp} διδάσκω^{vppanms} καί^{c} πορεία^{nafs} ποιέω^{vppmnms} εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.23** λέγω^{viaa3s} δέ^{c} τι-σρινμσ αὐτός^{rpdms} κύριος^{nvms} εἰ^{qo} ὀλίγος^{anmpn} ὁ^{dnmp} σῴζω^{vpppnmp} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp}. **v.24** ἀγωνίζομαι^{vdpn2p} εἰσέρχομαι^{vnaa} διά^{p} ὁ^{dgfs} στενός^{agfsn} πύλη^{ngfs} ὅτι^{c} πολύς^{anmpn} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ζητέω^{vifa3p} εἰσέρχομαι^{vnaa} καί^{c} οὐ^{xo} ἰσχύω^{vifa3p}. **v.25** ἀπό^{p} ὅς^{rrgms} ἄν^{xo} ἐγείρω^{vsap3s} ὁ^{dnms} οἰκοδεσπότης^{nnms} καί^{c} ἀποκλείω^{vsaa3s} ὁ^{dafs} θύρα^{nafs} καί^{c} ἄρχω^{vsam2p} ἔξω^{bo} ἵστημι^{vnxa} καί^{c} κρούω^{vnpa} ὁ^{dafs} θύρα^{nafs} λέγω^{vppanmp} κύριος^{nvms} κύριος^{nvms} ἀνοίγω^{vdaa2s} ἐγώ$^{rpd-p}$ καί^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{vifa3s} σύ$^{rpd-p}$ οὐ^{xo} οἶδα^{vixa1s} σύ$^{rpa-p}$ πόθεν^{bo} εἰμί^{vipx2p}. **v.26** τότε^{bo} ἄρχω^{vifm2p} λέγω^{vnpa} ἐσθίω^{viaa1p} ἐνώπιον^{bo} σύ$^{rpg-s}$ καί^{c} πίνω^{viaa1p} καί^{c} ἐν^{p} ὁ^{ddfp} πλατύς^{ndfp} ἐγώ$^{rpg-p}$ διδάσκω^{viaa2s}. **v.27** καί^{c} λέγω^{vifa3s} λέγω^{vipa1s} σύ$^{rpd-p}$ οὐ^{xo} οἶδα^{vixa1s} σύ$^{rpa-p}$ πόθεν^{bo} εἰμί^{vipx2p} ἀφίστημι^{vdaa2p} ἀπό^{p} ἐγώ$^{rpg-s}$ πᾶς^{anmpn} ὁ^{dnmp} ἐργάτης^{nnmp} ὁ^{dgfs} ἀδικία^{ngfs}. **v.28** ἐκεῖ^{bo} εἰμί^{vifx3s} ὁ^{dnms} κλαυθμός^{nnms} καί^{c} ὁ^{dnms} βρυγμός^{nnms} ὁ^{dgmp} ὀδούς^{ngmp} ὅταν^{c} ὀπτάνομαι^{vsad2p} Ἀβραάμ^{tp} καί^{c} Ἰσαάκ^{tp} καί^{c} Ἰακώβ^{tp} καί^{c} πᾶς^{aampn} ὁ^{damp} προφήτης^{namp} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} θεός^{ngms} σύ$^{rpa-p}$ δέ^{c} ἐκβάλλω^{vpppamp} ἔξω^{bo}. **v.29** καί^{c} ἥκω^{vifa3p} ἀπό^{p} ἀνατολή^{ngfp} καί^{c} δυσμή^{ngfp} καί^{c} ἀπό^{p} βορρᾶς^{ngms} καί^{c} νότος^{ngms} καί^{c} ἀνακλίνω^{vifp3p} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} θεός^{ngms}. **v.30** καί^{c} ἰδού^{vdaa2s} εἰμί^{vipx3p} ἔσχατος^{anmpn} ὅς^{rrnmp} εἰμί^{vifx3p} πρῶτος^{anmpn} καί^{c} εἰμί^{vipx3p} πρῶτος^{anmpn} ὅς^{rrnmp} εἰμί^{vifx3p} ἔσχατος^{anmpn}. **v.31** ἐν^{p} αὐτός^{rpdfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} προσέρχομαι^{viaa3p} τι-σρινμπ Φαρισαῖος^{nnmp} λέγω^{vppanmp} αὐτός^{rpdms} ἐξέρχομαι^{vdaa2s} καί^{c} πορεύομαι^{vdpn2s} ἐντεῦθεν^{bo} ὅτι^{c} Ἡρῴδης^{nnms} θέλω^{vipa3s} σύ$^{rpa-s}$ ἀποκτείνω^{vnaa}.

ἐπιτελῶ σήμερον καὶ αὔριον καὶ τῇ τρίτῃ τελειοῦμαι. πλὴν δεῖ 33
με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι ὅτι οὐκ ἐν-
δέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ. Ἰερουσαλὴμ 34
Ἰερουσαλήμ ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα
τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν ποσάκις ἠθέλησα ἐπισυνάξαι
τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέ-
ρυγας καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν 35
ἔρημος, ἀμὴν δὲ λέγω ὑμῖν ὅτι οὐ μὴ με ἴδητέ ἕως ἂν ἥξῃ, ὅτε
εἴπητε Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόν- **14**
των τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον καὶ αὐτοὶ ἦσαν πα-
ρατηρούμενοι αὐτόν. καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς 2
ἔμπροσθεν αὐτοῦ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς τοὺς 3
νομικοὺς καὶ Φαρισαίους λέγων Ἐι Ἔξεστιν τῷ σαββάτῳ θε-
ραπεύειν· οἱ δὲ ἡσύχασαν καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ 4
ἀπέλυσεν. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν Τίνος ὑμῶν ὄνος 5
ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν
ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου. καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι 6
αὐτῷ πρὸς ταῦτα. Ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους πα- 7
ραβολήν ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο λέγων πρὸς

---

v.32 καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} πορεύομαι^{vpaonmp} λέγω^{vdaa2p} ὁ^{ddfs} ἀλώπηξ^{ndfs} οὗτος^{rddfs} ἰδού^{vdaa2s} ἐκβάλλω^{vipa1s} δαιμόνιον^{nanp} καί^{c} ἴασις^{nafp} ἐπιτελέω^{vipa1s} σήμερον^{bo} καί^{c} αὔριον^{bo} καί^{c} ὁ^{ddfs} τρίτος^{adfsn} τελειόω^{vipp1s}. **v.33** πλήν^{bo} δεῖ^{vipq3s} ἐγώ$^{rpa-s}$ σήμερον^{bo} καί^{c} αὔριον^{bo} καί^{c} ὁ^{ddfs} ἔχω^{vpppdfs} πορεύομαι^{vnpn} ὅτι^{c} οὐ^{xo} ἐνδέχομαι^{vipn3s} προφήτης^{nams} ἀπόλλυμι^{vnam} ἔξω^{bo} Ἰερουσαλήμ^{tp}. **v.34** Ἰερουσαλήμ^{tp} Ἰερουσαλήμ^{tp} ὁ^{dnfs} ἀποκτείνω^{vppanfs} ὁ^{damp} προφήτης^{namp} καί^{c} λιθοβολέω^{vppanfs} ὁ^{damp} ἀποστέλλω^{vpxpamp} πρός^{p} αὐτός^{rpafs} ποσάκις^{bo} θέλω^{viaa1s} ἐπισυνάγω^{vnaa} ὁ^{danp} τέκνον^{nanp} σύ$^{rpg-s}$ ὅς^{rrams} τρόπος^{nams} ὄρνις^{nnms} ὁ^{dafs} ἑαυτοῦ^{rxgfs} νοσσία^{nafs} ὑπό^{p} ὁ^{dafp} πτέρυξ^{nafp} καί^{c} οὐ^{xo} θέλω^{viaa2p}. **v.35** ἰδού^{vdaa2s} ἀφίημι^{vipp3s} σύ$^{rpd-p}$ ὁ^{dnms} οἶκος^{nnms} σύ$^{rpg-p}$ ἔρημος^{anmsn} ἀμήνth δέ^{c} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} ἐγώ$^{rpa-s}$ ὁράω^{vsaa2p} ἕως^{c} ἄν^{xo} ἥκω^{vsaa2p} ὅτε^{bo} λέγω^{vsaa2p} εὐλογέω^{vpxpnms} ὁ^{dnms} ἔρχομαι^{vppnnms} ἐν^{p} ὄνομα^{ndns} κύριος^{ngms}. **14. v.1** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} ἔρχομαι^{vnaa} αὐτός^{rpams} εἰς^{p} οἶκος^{nams} τι-σριγμσ ὁ^{dgmp} ἄρχων^{ngmp} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} σάββατον^{ndns} ἐσθίω^{vnaa} ἄρτος^{nams} καί^{c} αὐτός^{rpnmp} εἰμί^{viix3p} παρατηρέω^{vppmnmp} αὐτός^{rpams}. **v.2** καί^{c} ἰδού^{vdaa2s} ἄνθρωπος^{nnms} τι-σρινμσ εἰμί^{viix3s} ὑδρωπικός^{anmsn} ἔμπροσθεν^{p} αὐτός^{rpgms}. **v.3** καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πρός^{p} ὁ^{damp} νομικός^{aampn} καί^{c} Φαρισαῖος^{namp} λέγω^{vppanms} εἰ^{qo} ἔξεστι^{vipq3s} ὁ^{ddns} σάββατον^{ndns} θεραπεύω^{vnpa}. **v.4** ὁ^{dnmp} δέ^{c} ἡσυχάζω^{viaa3p} καί^{c} ἐπιλαμβάνομαι^{vpadnms} ἰάομαι^{viad3s} αὐτός^{rpams} καί^{c} ἀπολύω^{viaa3s}. **v.5** καί^{c} ἀποκρίνομαι^{vpaonms} πρός^{p} αὐτός^{rpamp} λέγω^{viaa3s} τίς^{rqgms} σύ$^{rpg-p}$ ὄνος^{nnms} ἤ^{xo} βοῦς^{nnms} εἰς^{p} φρέαρ^{nans} ἐμπίπτω^{vifd3s} καί^{c} οὐ^{xo} εὐθέως^{bo} ἀνασπάω^{vifa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{dgns} σάββατον^{ngns}. **v.6** καί^{c} οὐ^{xo} ἰσχύω^{viaa3p} ἀνταποκρίνομαι^{vnao} αὐτός^{rpdms} πρός^{p} οὗτος^{rdanp}.

8 αὐτούς. Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους μὴ κατακλιθῇς
εἰς τὴν πρωτοκλισίαν μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ
9 αὐτοῦ. καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι Δὸς τούτῳ
τόπον καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.
10 ἀλλ᾽ ὅταν κληθῇς πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον
ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε εἴπῃ σοι Φίλε προσανάβηθι ἀ-
νώτερον, τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι.
11 ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν
12 ὑψωθήσεται. Ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτόν Ὅταν ποιῇς
ἄριστον ἢ δεῖπνον μὴ φώνει τοὺς φίλους σου μηδὲ τοὺς ἀδελ-
φούς σου μηδὲ τοὺς συγγενεῖς σου μηδὲ γείτονας πλουσίους
μήποτε καὶ αὐτοὶ σε ἀντικαλέσωσίν καὶ γένηται σοι ἀνταπόδο-
13 μά. ἀλλ᾽ ὅταν ποιῇς δοχὴν κάλει πτωχούς ἀναπήρους, χωλούς
14 τυφλούς, καὶ μακάριος ἔσῃ ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι
15 ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. Ἀκού-
σας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ Μακάριος ὃς
16 φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. ὁ δὲ εἶπεν αὐτῷ Ἄν-
17 θρωπός τις ἐποίησεν δεῖπνον μέγα καὶ ἐκάλεσεν πολλούς. καὶ
ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κε-

---

v.7 λέγω^{viia3s} δέ^{c} πρός^{p} ὁ^{damp} καλέω^{vpxpamp} παραβολή^{nafs} ἐπέχω^{vppanms} πῶς^{bo} ὁ^{dafp} πρωτοκλισία^{nafp} ἐκλέγω^{viim3p} λέγω^{vppanms} πρός^{p} αὐτός^{rpamp}. **v.8** ὅταν^{c} καλέω^{vsap2s} ὑπό^{p} τι-σριγμσ εἰς^{p} γάμος^{namp} μή^{xo} κατακλίνω^{vsap2s} εἰς^{p} ὁ^{dafs} πρωτοκλισία^{nafs} μήποτε^{bo} ἔντιμος^{anmsc} σύ$^{rpg-s}$ εἰμί^{vspx3s} καλέω^{vpxpnms} ὑπό^{p} αὐτός^{rpgms}. **v.9** καί^{c} ἔρχομαι^{vpaanms} ὁ^{dnms} σύ$^{rpa-s}$ καί^{c} αὐτός^{rpams} καλέω^{vpaanms} λέγω^{vifa3s} σύ$^{rpd-s}$ δίδωμι^{vdaa2s} οὗτος^{rddms} τόπος^{nams} καί^{c} τότε^{bo} ἄρχω^{vsam2s} μετά^{p} αἰσχύνη^{ngfs} ὁ^{dams} ἔσχατος^{aamsn} τόπος^{nams} κατέχω^{vnpa}. **v.10** ἀλλά^{c} ὅταν^{c} καλέω^{vsap2s} πορεύομαι^{vpaonms} ἀναπίπτω^{vdaa2s} εἰς^{p} ὁ^{dams} ἔσχατος^{aamsn} τόπος^{nams} ἵνα^{c} ὅταν^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnms} καλέω^{vpxanms} σύ$^{rpa-s}$ λέγω^{vsaa3s} σύ$^{rpd-s}$ φίλος^{nvms} προσαναβαίνω^{vdaa2s} ἀνώτερος^{aansn} τότε^{bo} εἰμί^{vifx3s} σύ$^{rpd-s}$ δόξα^{nnfs} ἐνώπιον^{bo} ὁ^{dgmp} συνανάκειμαι^{vppngmp} σύ$^{rpd-s}$. **v.11** ὅτι^{c} πᾶς^{anmsn} ὁ^{dnms} ὑψόω^{vppanms} ἑαυτοῦ^{rxams} ταπεινόω^{vifp3s} καί^{c} ὁ^{dnms} ταπεινόω^{vppanms} ἑαυτοῦ^{rxams} ὑψόω^{vifp3s}. **v.12** λέγω^{viia3s} δέ^{c} καί^{c} ὁ^{ddms} καλέω^{vpxadms} αὐτός^{rpams} ὅταν^{c} ποιέω^{vspa2s} ἄριστον^{nnns} ἤ^{xo} δεῖπνον^{nans} μή^{xo} φωνέω^{vdpa2s} ὁ^{damp} φίλος^{aampn} σύ$^{rpg-s}$ μηδέ^{c} ὁ^{damp} ἀδελφός^{namp} σύ$^{rpg-s}$ μηδέ^{c} ὁ^{damp} συγγενής^{aampn} σύ$^{rpg-s}$ μηδέ^{c} γείτων^{namp} πλούσιος^{aampn} μήποτε^{bo} καί^{c} αὐτός^{rpnmp} σύ$^{rpa-s}$ ἀντικαλέω^{vsaa3p} καί^{c} γίνομαι^{vsad3s} σύ$^{rpd-s}$ ἀνταπόδομα^{nans}. **v.13** ἀλλά^{c} ὅταν^{c} ποιέω^{vspa2s} δοχή^{nafs} καλέω^{vdpa2s} πτωχός^{aampn} ἀνάπειρος^{aampn} χωλός^{aampn} τυφλός^{aampn}. **v.14** καί^{c} μακάριος^{anmsn} εἰμί^{vifx2s} ὅτι^{c} οὐ^{xo} ἔχω^{vipa3p} ἀνταποδίδωμι^{vnaa} σύ$^{rpd-s}$ ἀνταποδίδωμι^{vifp3s} γάρ^{c} σύ$^{rpd-s}$ ἐν^{p} ὁ^{ddfs} ἀνάστασις^{ndfs} ὁ^{dgmp} δίκαιος^{agmpn}. **v.15** ἀκούω^{vpaanms} δέ^{c} τι-σρινμσ ὁ^{dgmp} συνανάκειμαι^{vppngmp} οὗτος^{rdanp} λέγω^{viaa3s} αὐτός^{rpdms} μακάριος^{anmsn} ὅς^{rrnms} ἐσθίω^{vifd3s} ἄρτος^{nams} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} θεός^{ngms}. **v.16** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ἄνθρωπος^{nnms} τι-σρινμσ ποιέω^{viaa3s} δεῖπνον^{nans} μέγας^{aansn} καί^{c} καλέω^{viaa3s} πολύς^{aampn}.

κλημένοις Ἔρχεσθε ὅτι ἤδη ἕτοιμά ἐστιν πάντα. καὶ ἤρξαντο 18
ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες ὁ πρῶτος εἶπεν αὐτῷ Ἀγρὸν ἠ-
γόρασα καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν, ἐρωτῶ σε
ἔχε με παρῃτημένον. καὶ ἕτερος εἶπεν Ζεύγη βοῶν ἠγόρασα 19
πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτά, ἐρωτῶ σε ἔχε με παρῃ-
τημένον. καὶ ἕτερος εἶπεν Γυναῖκα ἔγημα καὶ διὰ τοῦτο οὐ 20
δύναμαι ἐλθεῖν. καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγ- 21
γειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης
εἶπεν τῷ δούλῳ αὐτοῦ Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύ-
μας τῆς πόλεως καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς
καὶ τυφλοὺς εἰσάγαγε ὧδε. καὶ εἶπεν ὁ δοῦλος Κύριε γέγονεν 22
ὡς ἐπέταξας καὶ ἔτι τόπος ἐστίν. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν 23
δοῦλον Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον
εἰσελθεῖν ἵνα γεμισθῇ ὁ οἶκος, μου. λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς 24
τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.
Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί καὶ στραφεὶς εἶπεν πρὸς 25
αὐτούς. Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ 26
καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελ-
φοὺς καὶ τὰς ἀδελφάς ἔτι δέ καὶ τὴν ἑαυτοῦ ψυχὴν οὐ δύναται
μου μαθητής εἶναί. καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ 27

---

v.17 καί^{c} ἀποστέλλω^{viaa3s} ὁ^{dams} δοῦλος^{nams} αὐτός^{rpgms} ὁ^{ddfs} ὥρα^{ndfs} ὁ^{dgns} δεῖπνον^{ngns} λέγω^{vnaa} ὁ^{ddmp} καλέω^{vpxpdmp} ἔρχομαι^{vdpn2p} ὅτι^{c} ἤδη^{bo} ἕτοιμος^{annpn} εἰμί^{vipx3s} πᾶς^{annpn}. **v.18** καί^{c} ἄρχω^{viad3p} ἀπό^{p} εἷς^{ngfs} παραιτέομαι^{vnpn} πᾶς^{anmpn} ὁ^{dnms} πρῶτος^{anmsn} λέγω^{viaa3s} αὐτός^{rpdms} ἀγρός^{nams} ἀγοράζω^{viaa1s} καί^{c} ἔχω^{vipa1s} ἀνάγκη^{nafs} ἐξέρχομαι^{vnaa} καί^{c} ὁράω^{vnaa} αὐτός^{rpams} ἐρωτάω^{vipa1s} σύ$^{rpa-s}$ ἔχω^{vdpa2s} ἐγώ$^{rpa-s}$ παραιτέομαι^{vpxpams}. **v.19** καί^{c} ἕτερος^{anmsn} λέγω^{viaa3s} ζεῦγος^{nanp} βοῦς^{ngmp} ἀγοράζω^{viaa1s} πέντε^{tn} καί^{c} πορεύομαι^{vipn1s} δοκιμάζω^{vnaa} αὐτός^{rpanp} ἐρωτάω^{vipa1s} σύ$^{rpa-s}$ ἔχω^{vdpa2s} ἐγώ$^{rpa-s}$ παραιτέομαι^{vpxpams}. **v.20** καί^{c} ἕτερος^{anmsn} λέγω^{viaa3s} γυνή^{nafs} γαμέω^{viaa1s} καί^{c} διά^{p} οὗτος^{rdans} οὐ^{xo} δύναμαι^{vipn1s} ἔρχομαι^{vnaa}. **v.21** καί^{c} παραγίνομαι^{vpadnms} ὁ^{dnms} δοῦλος^{nnms} ἐκεῖνος^{rdnms} ἀπαγγέλλω^{viaa3s} ὁ^{ddms} κύριος^{ndms} αὐτός^{rpgms} οὗτος^{rdanp} τότε^{bo} ὀργίζω^{vpapnms} ὁ^{dnms} οἰκοδεσπότης^{nnms} λέγω^{viaa3s} ὁ^{ddms} δοῦλος^{ndms} αὐτός^{rpgms} ἐξέρχομαι^{vdaa2s} ταχέως^{bo} εἰς^{p} ὁ^{dafp} πλατύς^{nafp} καί^{c} ῥύμη^{nafp} ὁ^{dgfs} πόλις^{ngfs} καί^{c} ὁ^{damp} πτωχός^{aampn} καί^{c} ἀνάπειρος^{aampn} καί^{c} χωλός^{aampn} καί^{c} τυφλός^{aampn} εἰσάγω^{vdaa2s} ὧδε^{bo}. **v.22** καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} δοῦλος^{nnms} κύριος^{nvms} γίνομαι^{vixa3s} ὡς^{bo} ἐπιτάσσω^{viaa2s} καί^{c} ἔτι^{bo} τόπος^{nnms} εἰμί^{vipx3s}. **v.23** καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} κύριος^{nnms} πρός^{p} ὁ^{dams} δοῦλος^{nams} ἐξέρχομαι^{vdaa2s} εἰς^{p} ὁ^{dafp} ὁδός^{nafp} καί^{c} φραγμός^{namp} καί^{c} ἀναγκάζω^{vdaa2s} εἰσέρχομαι^{vnaa} ἵνα^{c} γεμίζω^{vsap3s} ὁ^{dnms} οἶκος^{nnms} ἐγώ$^{rpg-s}$. **v.24** λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} οὐδείς^{anfsn} ὁ^{dgmp} ἀνήρ^{ngmp} ἐκεῖνος^{rdgmp} ὁ^{dgmp} καλέω^{vpxpgmp} γεύομαι^{vifd3s} ἐγώ$^{rpg-s}$ ὁ^{dgns} δεῖπνον^{ngns}. **v.25** συμπορεύομαι^{viin3p} δέ^{c} αὐτός^{rpdms} ὄχλος^{nnmp} πολύς^{anmpn} καί^{c} στρέφω^{vpapnms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp}. **v.26** εἰ^{qo} τι-σρινμσ ἔρχομαι^{vipn3s} πρός^{p} ἐγώ$^{rpa-s}$ καί^{c} οὐ^{xo} μισέω^{vipa3s} ὁ^{dams} πατήρ^{nams} ἑαυτοῦ^{rxgms} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} καί^{c} ὁ^{dafs} γυνή^{nafs} καί^{c} ὁ^{danp} τέκνον^{nanp} καί^{c} ὁ^{damp} ἀδελφός^{namp} καί^{c} ὁ^{dafp} ἀδελφή^{nafp} ἔτι^{bo} δέ^{c} καί^{c} ὁ^{dafs} ἑαυτοῦ^{rxgms} ψυχή^{nafs} οὐ^{xo} δύναμαι^{vipn3s} ἐγώ$^{rpg-s}$ μαθητής^{nnms} εἰμί^{vnpx}.

28 καὶ ἔρχεται ὀπίσω μου οὐ δύναται μου εἶναί μαθητής. τίς
γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθίσας
29 ψηφίζει τὴν δαπάνην εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν. ἵνα μήποτε
θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι πάντες οἱ
30 θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ. λέγοντες ὅτι Οὗτος ὁ
31 ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι. ἢ
τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλε-
μον οὐχὶ καθίσας πρῶτον βουλεύεται εἰ δυνατός ἐστιν ἐν δέκα
χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ αὐ-
32 τόν. εἰ δὲ μήγε, ἔτι αὐτοῦ πόρρω ὄντος πρεσβείαν ἀποστείλας
33 ἐρωτᾷ τὰ πρὸς εἰρήνην. οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀπο-
τάσσεται πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν οὐ δύναται μου εἶναί
34 μαθητής. Καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἀρ-
35 τυθήσεται. οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν ἔξω
βάλλουσιν αὐτό ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

15 ⁷Ησαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρ-
2 τωλοὶ ἀκούειν αὐτοῦ. καὶ διεγόγγυζον οἵ Φαρισαῖοι καὶ οἱ
γραμματεῖς λέγοντες ὅτι Οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ
3 συνεσθίει αὐτοῖς. εἶπεν δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύ-
4 την λέγων. Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα καὶ
ἀπολέσας ἓν ἐξ αὐτῶν οὐ καταλείπει τὰ ἐννενήκονταεννέα ἐν

---

v.27 καί^{c} ὅστις^{rrnms} οὐ^{xo} βαστάζω^{vipa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms} καί^{c} ἔρχομαι^{vipn3s} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ οὐ^{xo} δύναμαι^{vipn3s} ἐγώ$^{rpg-s}$ εἰμί^{vnpx} μαθητής^{nnms}. **v.28** τίς^{rqnms} γάρ^{c} ἐκ^{p} σύ$^{rpg-p}$ θέλω^{vppanms} πύργος^{nams} οἰκοδομέω^{vnaa} οὐχί^{xo} πρῶτος^{bo} καθίζω^{vpaanms} ψηφίζω^{vipa3s} ὁ^{dafs} δαπάνη^{nafs} εἰ^{qo} ἔχω^{vipa3s} ὁ^{danp} πρός^{p} ἀπαρτισμός^{nams}. **v.29** ἵνα^{c} μήποτε^{bo} τίθημι^{vpaagms} αὐτός^{rpgms} θεμέλιος^{nams} καί^{c} μή^{xo} ἰσχύω^{vppagms} ἐκτελέω^{vnaa} πᾶς^{anmpn} ὁ^{dnmp} θεωρέω^{vppanmp} ἄρχω^{vsam3p} ἐμπαίζω^{vnpa} αὐτός^{rpdms}. **v.30** λέγω^{vppanmp} ὅτι^{c} οὗτος^{rdnms} ὁ^{dnms} ἄνθρωπος^{nnms} ἄρχω^{viad3s} οἰκοδομέω^{vnpa} καί^{c} οὐ^{xo} ἰσχύω^{viaa3s} ἐκτελέω^{vnaa}. **v.31** ἤ^{xo} τίς^{rqnms} βασιλεύς^{nnms} πορεύομαι^{vppnnms} συμβάλλω^{vnaa} ἕτερος^{admsn} βασιλεύς^{ndms} εἰς^{p} πόλεμος^{nams} οὐχί^{xo} καθίζω^{vpaanms} πρῶτος^{bo} βουλεύομαι^{vipn3s} εἰ^{qo} δυνατός^{anmsn} εἰμί^{vipx3s} ἐν^{p} δέκα^{tn} χιλιάς^{ndfp} ἀπαντάω^{vnaa} ὁ^{ddms} μετά^{p} εἴκοσι^{nnmp} χιλιάς^{nnfp} ἔρχομαι^{vppndms} ἐπί^{p} αὐτός^{rpams}. **v.32** εἰ^{qo} δέ^{c} μή^{xo} ἔτι^{bo} αὐτός^{rpgms} πόρρω^{bo} εἰμί^{vppxgms} πρεσβεία^{nafs} ἀποστέλλω^{vpaanms} ἐρωτάω^{vipa3s} ὁ^{danp} πρός^{p} εἰρήνη^{nafs}. **v.33** οὕτω^{bo} οὖν^{c} πᾶς^{anmsn} ἐκ^{p} σύ$^{rpg-p}$ ὅς^{rrnms} οὐ^{xo} ἀποτάσσω^{vipm3s} πᾶς^{adnpn} ὁ^{ddnp} ἑαυτοῦ^{rxgms} ὑπάρχω^{vppadnp} οὐ^{xo} δύναμαι^{vipn3s} ἐγώ$^{rpg-s}$ εἰμί^{vnpx} μαθητής^{nnms}. **v.34** καλός^{annsn} ὁ^{dnns} ἅλας^{nnns} ἐάν^{qo} δέ^{c} ὁ^{dnns} ἅλας^{nnns} μωραίνω^{vsap3s} ἐν^{p} τίς^{rqdns} ἀρτύω^{vifp3s}. **v.35** οὔτε^{c} εἰς^{p} γῆ^{nafs} οὔτε^{c} εἰς^{p} κοπρία^{nafs} εὔθετος^{annsn} εἰμί^{vipx3s} ἔξω^{bo} βάλλω^{vipa3p} αὐτός^{rpans} ὁ^{dnms} ἔχω^{vppanms} οὖς^{nanp} ἀκούω^{vnpa} ἀκούω^{vdpa3s}. **15. v.1** εἰμί^{viix3p} δέ^{c} ἐγγίζω^{vppanmp} αὐτός^{rpdms} πᾶς^{anmpn} ὁ^{dnmp} τελώνης^{nnmp} καί^{c} ὁ^{dnmp} ἁμαρτωλός^{anmpn} ἀκούω^{vnpa} αὐτός^{rpgms}. **v.2** καί^{c} διαγογγύζω^{viia3p} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} λέγω^{vppanmp} ὅτι^{c} οὗτος^{rdnms} ἁμαρτωλός^{aampn} προσδέχομαι^{vipn3s} καί^{c} συνεσθίω^{vipa3s} αὐτός^{rpdmp}. **v.3** λέγω^{viaa3s} δέ^{c} πρός^{p} αὐτός^{rpamp} ὁ^{dafs} παραβολή^{nafs} οὗτος^{rdafs} λέγω^{vppanms}.

τῇ ἐρήμῳ καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ αὐτό. καὶ 5
εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων. καὶ ἐλθὼν 6
εἰς τὸν οἶκον συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων
αὐτοῖς Συγχάρητέ μοι ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.
λέγω ὑμῖν ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ 7
μετανοοῦντι ἢ ἐπὶ ἐννενήκονταεννέα δικαίοις οἵτινες οὐ χρείαν
ἔχουσιν μετανοίας. Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα ἐὰν ἀ- 8
πολέσῃ δραχμὴν μίαν οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν
καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου εὕρῃ. καὶ εὑροῦσα συγκαλεῖται 9
τὰς φίλας καὶ τὰς γείτονας λέγουσα Συγχάρητέ μοι ὅτι εὗρον
τὴν δραχμὴν ἣν ἀπώλεσα. οὕτως λέγω ὑμῖν χαρὰ γίνεται ἐν- 10
ώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.
Εἶπεν δέ Ἄνθρωπός τις εἶχεν δύο υἱούς. καὶ εἶπεν ὁ νεώτερος 11, 12
αὐτῶν τῷ πατρί Πάτερ δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας
καὶ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ μετ οὐ πολλὰς ἡμέρας συνα- 13
γαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν
καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. δαπανή- 14
σαντος δὲ αὐτοῦ πάντα ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν
ἐκείνην καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολ- 15
λήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης καὶ ἔπεμψεν αὐτὸν εἰς

---

v.4 τίς^{rqnms} ἄνθρωπος^{nnms} ἐκ^{p} σύ$^{rpg\text{-}p}$ ἔχω^{vppanms} ἑκατόν^{tn} πρόβατον^{nanp} καί^{c} ἀπόλλυμι^{vpaanms} εἷς^{nans} ἐκ^{p} αὐτός^{rpgnp} οὐ^{xo} καταλείπω^{vipa3s} ὁ^{danp} ἐνενήκοντα^{tn} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} καί^{c} πορεύομαι^{vipn3s} ἐπί^{p} ὁ^{dans} ἀπόλλυμι^{vpxaans} ἕως^{c} εὑρίσκω^{vsaa3s} αὐτός^{rpans}. **v.5** καί^{c} εὑρίσκω^{vpaanms} ἐπιτίθημι^{vipa3s} ἐπί^{p} ὁ^{damp} ὦμος^{namp} ἑαυτοῦ^{rxgms} χαίρω^{vppanms}. **v.6** καί^{c} ἔρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} συγκαλέω^{vipa3s} ὁ^{damp} φίλος^{aampn} καί^{c} ὁ^{damp} γείτων^{namp} λέγω^{vppanms} αὐτός^{rpdmp} συγχαίρω^{vdao2p} ἐγώ$^{rpd\text{-}s}$ ὅτι^{c} εὑρίσκω^{viaa1s} ὁ^{dans} πρόβατον^{nans} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dans} ἀπόλλυμι^{vpxaans}. **v.7** λέγω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} οὕτω^{bo} χαρά^{nnfs} εἰμί^{vifx3s} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms} ἐπί^{p} εἷς^{ndms} ἁμαρτωλός^{admsn} μετανοέω^{vppadms} ἤ^{xo} ἐπί^{p} ἐνενήκοντα^{tn} δίκαιος^{admpn} ὅστις^{rrnmp} οὐ^{xo} χρεία^{nafs} ἔχω^{vipa3p} μετάνοια^{ngfs}. **v.8** ἤ^{xo} τίς^{rqnfs} γυνή^{nnfs} δραχμή^{nafp} ἔχω^{vppanfs} δέκα^{tn} ἐάν^{qo} ἀπόλλυμι^{vsaa3s} δραχμή^{nafs} εἷς^{nafs} οὐχί^{xo} ἅπτω^{vipa3s} λύχνος^{nafs} καί^{c} σαρόω^{vipa3s} ὁ^{dafs} οἰκία^{nafs} καί^{c} ζητέω^{vipa3s} ἐπιμελῶς^{bo} ἕως^{c} ὅστις^{rrgns} εὑρίσκω^{vsaa3s}. **v.9** καί^{c} εὑρίσκω^{vpaanfs} συγκαλέω^{vipm3s} ὁ^{dafp} φίλος^{nafp} καί^{c} ὁ^{dafp} γείτων^{nafp} λέγω^{vppanfs} συγχαίρω^{vdao2p} ἐγώ$^{rpd\text{-}s}$ ὅτι^{c} εὑρίσκω^{viaa1s} ὁ^{dafs} δραχμή^{nafs} ὅς^{rrafs} ἀπόλλυμι^{viaa1s}. **v.10** οὕτω^{bo} λέγω^{vipa1s} σύ$^{rpd\text{-}p}$ χαρά^{nnfs} γίνομαι^{vipn3s} ἐνώπιον^{bo} ὁ^{dgmp} ἄγγελος^{ngmp} ὁ^{dgms} θεός^{ngms} ἐπί^{p} εἷς^{ndms} ἁμαρτωλός^{admsn} μετανοέω^{vppadms}. **v.11** λέγω^{viaa3s} δέ^{c} ἄνθρωπος^{nnms} τι-ορινμσ ἔχω^{viia3s} δύο^{tn} υἱός^{namp}. **v.12** καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} νέος^{anmsc} αὐτός^{rpgmp} ὁ^{ddms} πατήρ^{ndms} πατήρ^{nvms} δίδωμι^{vdaa2s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dans} ἐπιβάλλω^{vppaans} μέρος^{nans} ὁ^{dgfs} οὐσία^{ngfs} καί^{c} διαιρέω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dams} βίος^{nams}. **v.13** καί^{c} μετά^{p} οὐ^{xo} πολύς^{aafpn} ἡμέρα^{nafp} συνάγω^{vpaanms} ἅπας^{aanpn} ὁ^{dnms} νέος^{anmsc} υἱός^{nnms} ἀποδημέω^{viaa3s} εἰς^{p} χώρα^{nafs} μακρός^{aafsn} καί^{c} ἐκεῖ^{bo} διασκορπίζω^{viaa3s} ὁ^{dafs} οὐσία^{nafs} αὐτός^{rpgms} ζάω^{vppanms} ἀσώτως^{bo}. **v.14** δαπανάω^{vpaagms} δέ^{c} αὐτός^{rpgms} πᾶς^{aanpn} γίνομαι^{viad3s} λιμός^{nnms} ἰσχυρός^{anmsn} κατά^{p} ὁ^{dafs} χώρα^{nafs} ἐκεῖνος^{rdafs} καί^{c} αὐτός^{rpnms} ἄρχω^{viad3s} ὑστερέω^{vnpp}.

16 τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι
τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι καὶ
17 οὐδεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπεν Πόσοι μίσθιοι
τοῦ πατρός μου περισσεύουσιν ἄρτων ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι.
18 ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ Πά-
19 τερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου. καὶ οὐκέτι εἰμὶ
ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.
20 καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα ἑαυτοῦ ἔτι δὲ αὐτοῦ μα-
κρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη
καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν
21 αὐτόν. εἶπεν δὲ αὐτῷ ὁ υἱὸς Πάτερ ἥμαρτον εἰς τὸν οὐρα-
νὸν καὶ ἐνώπιόν σου καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.
22 εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ ἐξενέγκατε τὴν στο-
λὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν καὶ δότε δακτύλιον εἰς τὴν
23 χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας. καὶ ἐνέγκαντες
τὸν μόσχον τὸν σιτευτόν θύσατε καὶ φαγόντες εὐφρανθῶμεν.
24 ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν καὶ ἀπολωλὼς ἦν
25 καὶ εὑρέθη καὶ ἤρξαντο εὐφραίνεσθαι. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ
ὁ πρεσβύτερος ἐν ἀγρῷ, καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ οἰκίᾳ ἤ-
26 κουσεν συμφωνίας καὶ χορῶν. καὶ προσκαλεσάμενος ἕνα τῶν

---

v.15 καί[c] πορεύομαι[vpaonms] κολλάω[viap3s] εἷς[ndms] ὁ[dgmp] πολίτης[ngmp] ὁ[dgfs] χώρα[ngfs] ἐκεῖνος[rdgfs] καί[c] πέμπω[viaa3s] αὐτός[rpams] εἰς[p] ὁ[damp] ἀγρός[namp] αὐτός[rpgms] βόσκω[vnpa] χοῖρος[namp]. **v.16** καί[c] ἐπιθυμέω[viia3s] γεμίζω[vnaa] ὁ[dafs] κοιλία[nafs] αὐτός[rpgms] ἀπό[p] ὁ[dgnp] κεράτιον[ngnp] ὅς[rrgnp] ἐσθίω[viia3p] ὁ[dnmp] χοῖρος[nnmp] καί[c] οὐδείς[anfsn] δίδωμι[viia3s] αὐτός[rpdms]. **v.17** εἰς[p] ἑαυτοῦ[rxams] δέ[c] ἔρχομαι[vpaanms] λέγω[viaa3s] πόσος[ronmp] μίσθιος[anmpn] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] περισσεύω[vipa3p] ἄρτος[ngmp] ἐγώ[rpn-s] δέ[c] λιμός[ndms] ἀπόλλυμι[vipm1s]. **v.18** ἀνίστημι[vpaanms] πορεύομαι[vifd1s] πρός[p] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] καί[c] λέγω[vifa1s] αὐτός[rpdms] πατήρ[nvms] ἁμαρτάνω[viaa1s] εἰς[p] ὁ[dams] οὐρανός[nams] καί[c] ἐνώπιον[bo] σύ[rpg-s]. **v.19** καί[c] οὐκέτι[bo] εἰμί[vipx1s] ἄξιος[anmsn] καλέω[vnap] υἱός[nnms] σύ[rpg-s] ποιέω[vdaa2s] ἐγώ[rpa-s] ὡς[bo] εἷς[nams] ὁ[dgmp] μίσθιος[agmpn] σύ[rpg-s]. **v.20** καί[c] ἀνίστημι[vpaanms] ἔρχομαι[viaa3s] πρός[p] ὁ[dams] πατήρ[nams] ἑαυτοῦ[rxgms] ἔτι[bo] δέ[c] αὐτός[rpgms] μακράν[bo] ἀπέχω[vppagms] ὁράω[viaa3s] αὐτός[rpams] ὁ[dnms] πατήρ[nnms] αὐτός[rpgms] καί[c] σπλαγχνίζομαι[viao3s] καί[c] τρέχω[vpaanms] ἐπιπίπτω[viaa3s] ἐπί[p] ὁ[dams] τράχηλος[nams] αὐτός[rpgms] καί[c] καταφιλέω[viaa3s] αὐτός[rpams]. **v.21** λέγω[viaa3s] δέ[c] αὐτός[rpdms] ὁ[dnms] υἱός[nnms] πατήρ[nvms] ἁμαρτάνω[viaa1s] εἰς[p] ὁ[dams] οὐρανός[nams] καί[c] ἐνώπιον[bo] σύ[rpg-s] καί[c] οὐκέτι[bo] εἰμί[vipx1s] ἄξιος[anmsn] καλέω[vnap] υἱός[nnms] σύ[rpg-s]. **v.22** λέγω[viaa3s] δέ[c] ὁ[dnms] πατήρ[nnms] πρός[p] ὁ[damp] δοῦλος[namp] αὐτός[rpgms] ἐκφέρω[vdaa2p] ὁ[dafs] στολή[nafs] ὁ[dafs] πρῶτος[aafsn] καί[c] ἐνδύω[vdaa2p] αὐτός[rpams] καί[c] δίδωμι[vdaa2p] δακτύλιος[nams] εἰς[p] ὁ[dafs] χείρ[nafs] αὐτός[rpgms] καί[c] ὑπόδημα[nanp] εἰς[p] ὁ[damp] πούς[namp]. **v.23** καί[c] φέρω[vpaanmp] ὁ[dams] μόσχος[aamsn] ὁ[dams] σιτευτός[aamsn] θύω[vdaa2p] καί[c] ἐσθίω[vpaanmp] εὐφραίνω[vsap1p]. **v.24** ὅτι[c] οὗτος[rdnms] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] νεκρός[anmsn] εἰμί[viix3s] καί[c] ἀναζάω[viaa3s] καί[c] ἀπόλλυμι[vpxanms] εἰμί[viix3s] καί[c] εὑρίσκω[viap3s] καί[c] ἄρχω[viad3p] εὐφραίνω[vnpp]. **v.25** εἰμί[viix3s] δέ[c] ὁ[dnms] υἱός[nnms] αὐτός[rpgms] ὁ[dnms] πρεσβύτερος[anmsn] ἐν[p] ἀγρός[ndms] καί[c] ὡς[bo] ἔρχομαι[vppnnms] ἐγγίζω[viaa3s] ὁ[ddfs] οἰκία[ndfs] ἀκούω[viaa3s] συμφωνία[ngfs] καί[c] χορός[ngmp].

παίδων αὐτοῦ ἐπυνθάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ ὅτι 27
Ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν
σιτευτόν ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ καὶ οὐκ 28
ἤθελεν εἰσελθεῖν ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.
ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ πατρὶ Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι 29
καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον καὶ ἐμοὶ οὐδέποτε ἔδωκας
ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ, ὅτε δὲ ὁ υἱός σου 30
οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν ἔθυσας
αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. ὁ δὲ εἶπεν αὐτῷ Τέκνον σὺ 31
πάντοτε μετ ἐμοῦ εἶ καὶ πάντα τὰ ἐμὰ σά ἐστιν, εὐφρανθῆναι 32
δὲ καὶ χαρῆναι ἔδει ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ
ἀνέζησεν καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

16 Ἔλεγεν δὲ καὶ πρὸς τοὺς μαθητάς αὐτοῦ Ἄνθρωπός τις ἦν
πλούσιος ὃς εἶχεν οἰκονόμον καὶ οὗτος διεβλήθη αὐτῷ ὡς δι- 2
ασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ, καὶ φωνήσας αὐτὸν εἶπεν
αὐτῷ Τί τοῦτο ἀκούω περὶ σοῦ ἀπόδος τὸν λόγον τῆς οἰκονο-
μίας σου οὐ γὰρ δύνῃῃ ἔτι οἰκονομεῖν. εἶπεν δὲ ἐν ἑαυτῷ 3
ὁ οἰκονόμος Τί ποιήσω ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰ-
κονομίαν ἀπ ἐμοῦ σκάπτειν οὐκ ἰσχύω ἐπαιτεῖν αἰσχύνομαι.
ἔγνων τί ποιήσω ἵνα ὅταν μεταστῶ τῆς οἰκονομίας δέξωνταί 4

---

v.26 καί^{c} προσκαλέομαι^{vpadnms} εἷς^{nams} ὁ^{dgmp} παῖς^{ngmp} αὐτός^{rpgms} πυνθάνομαι^{viin3s} τίς^{rqnns} εἰμί^{vopx3s} οὗτος^{rdnnp}. **v.27** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὅτι^{c} ὁ^{dnms} ἀδελφός^{nnms} σύ$^{rpg-s}$ ἥκω^{vipa3s} καί^{c} θύω^{viaa3s} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-s}$ ὁ^{dams} μόσχος^{aamsn} ὁ^{dams} σιτευτός^{aamsn} ὅτι^{c} ὑγιαίνω^{vppaams} αὐτός^{rpams} ἀπολαμβάνω^{viaa3s}. **v.28** ὀργίζω^{viap3s} δέ^{c} καί^{c} οὐ^{xo} θέλω^{viia3s} εἰσέρχομαι^{vnaa} ὁ^{dnms} οὖν^{c} πατήρ^{nnms} αὐτός^{rpgms} ἐξέρχομαι^{vpaanms} παρακαλέω^{viia3s} αὐτός^{rpams}. **v.29** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} ὁ^{ddms} πατήρ^{ndms} ἰδού^{vdaa2s} τοσοῦτος^{rdanp} ἔτος^{nanp} δουλεύω^{vipa1s} σύ$^{rpd-s}$ καί^{c} οὐδέποτε^{bo} ἐντολή^{nafs} σύ$^{rpg-s}$ παρέρχομαι^{viaa1s} καί^{c} ἐγώ$^{rpd-s}$ οὐδέποτε^{bo} δίδωμι^{viaa2s} ἔριφος^{nams} ἵνα^{c} μετά^{p} ὁ^{dgmp} φίλος^{agmpn} ἐγώ$^{rpg-s}$ εὐφραίνω^{vsap1s}. **v.30** ὅτε^{bo} δέ^{c} ὁ^{dnms} υἱός^{nnms} σύ$^{rpg-s}$ οὗτος^{rdnms} ὁ^{dnms} κατεσθίω^{vpaanms} σύ$^{rpg-s}$ ὁ^{dams} βίος^{nams} μετά^{p} πόρνη^{ngfp} ἔρχομαι^{viaa3s} θύω^{viaa2s} αὐτός^{rpdms} ὁ^{dams} μόσχος^{aamsn} ὁ^{dams} σιτευτός^{aamsn}. **v.31** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} τέκνον^{nvns} σύ$^{rpn-s}$ πάντοτε^{bo} μετά^{p} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2s} καί^{c} πᾶς^{annpn} ὁ^{dnnp} ἐμός^{rsnnp} σός^{rsnnp} εἰμί^{vipx3s}. **v.32** εὐφραίνω^{vnap} δέ^{c} καί^{c} χαίρω^{vnao} δεῖ^{viiq3s} ὅτι^{c} ὁ^{dnms} ἀδελφός^{nnms} σύ$^{rpg-s}$ οὗτος^{rdnms} νεκρός^{anmsn} εἰμί^{viix3s} καί^{c} ἀναζάω^{viaa3s} καί^{c} ἀπόλλυμι^{vpxanms} εἰμί^{viix3s} καί^{c} εὑρίσκω^{viap3s}. **16. v.1** λέγω^{viia3s} δέ^{c} καί^{c} πρός^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} ἄνθρωπος^{nnms} τι-σ-ρινμσ εἰμί^{viix3s} πλούσιος^{anmsn} ὅς^{rrnms} ἔχω^{viia3s} οἰκονόμος^{nams} καί^{c} οὗτος^{rdnms} διαβάλλω^{viap3s} αὐτός^{rpdms} ὡς^{bo} διασκορπίζω^{vppanms} ὁ^{danp} ὑπάρχω^{vppaanp} αὐτός^{rpgms}. **v.2** καί^{c} φωνέω^{vpaanms} αὐτός^{rpams} λέγω^{viaa3s} αὐτός^{rpdms} τίς^{rqnns} οὗτος^{rdnns} ἀκούω^{vipa1s} περί^{p} σύ$^{rpg-s}$ ἀποδίδωμι^{vdaa2s} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} οἰκονομία^{ngfs} σύ$^{rpg-s}$ οὐ^{xo} γάρ^{c} δύναμαι^{vifd2s} ἔτι^{bo} οἰκονομέω^{vnpa}. **v.3** λέγω^{viaa3s} δέ^{c} ἐν^{p} ἑαυτοῦ^{rxdms} ὁ^{dnms} οἰκονόμος^{nnms} τίς^{rqans} ποιέω^{vsaa1s} ὅτι^{c} ὁ^{dnms} κύριος^{nnms} ἐγώ$^{rpg-s}$ ἀφαιρέω^{vipm3s} ὁ^{dafs} οἰκονομία^{nafs} ἀπό^{p} ἐγώ$^{rpg-s}$ σκάπτω^{vnpa} οὐ^{xo} ἰσχύω^{vipa1s} ἐπαιτέω^{vnpa} αἰσχύνω^{vipe1s}.

με εἰς τοὺς οἴκους αὐτῶν. καὶ προσκαλεσάμενος ἕνα ἕκαστον
τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ ἔλεγεν τῷ πρώτῳ Πόσον
ὀφείλεις τῷ κυρίῳ μου. ὁ δὲ εἶπεν Ἑκατὸν βάτους ἐλαίου
καὶ εἶπεν αὐτῷ Δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γρά-
ψον πεντήκοντα. ἔπειτα ἑτέρῳ εἶπεν Σὺ δὲ πόσον ὀφείλεις
ὁ δὲ εἶπεν Ἑκατὸν κόρους σίτου καὶ λέγει αὐτῷ Δέξαι σου τὸ
γράμμα, καὶ γράψον ὀγδοήκοντα. καὶ ἐπῄνεσεν ὁ κύριος τὸν
οἰκονόμον τῆς ἀδικίας ὅτι φρονίμως ἐποίησεν, ὅτι οἱ υἱοὶ τοῦ
αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν
γενεὰν τὴν ἑαυτῶν εἰσιν. κἀγὼ ὑμῖν λέγω ποιήσατε ἑαυτοῖς
φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας ἵνα ὅταν ἐκλίπητε, δέξων-
ται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ
ἐν πολλῷ πιστός ἐστιν καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ
ἄδικός ἐστιν. εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένε-
σθε τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει. καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ
πιστοὶ οὐκ ἐγένεσθε τὸ ὑμέτερον τίς ὑμῖν δώσει. Οὐδεὶς οἰ-
κέτης δύναται δυσὶ κυρίοις δουλεύειν, ἢ γὰρ τὸν ἕνα μισήσει
καὶ τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου κατα-
φρονήσει οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. Ἤκουον δὲ
ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὑπάρχοντες καὶ ἐξε-

---

v.4 γινώσκω^{viaa1s} τίς^{rqans} ποιέω^{vifa1s} ἵνα^{c} ὅταν^{c} μεθίστημι^{vsap1s} ὁ^{dgfs} οἰκονομία^{ngfs} δέχομαι^{vsad3p} ἐγώ$^{rpa-s}$ εἰς^{p} ὁ^{damp} οἶκος^{namp} αὐτός^{rpgmp}. **v.5** καί^{c} προσκαλέομαι^{vpadnms} εἷς^{nams} ἕκαστος^{aamsn} ὁ^{dgmp} χρεοφειλέτης^{ngmp} ὁ^{dgms} κύριος^{ngms} ἑαυτοῦ^{rxgms} λέγω^{viia3s} ὁ^{ddms} πρῶτος^{admsn} πόσος^{roans} ὀφείλω^{vipa2s} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-s}$. **v.6** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} ἑκατόν^{tn} βάτος^{namp} ἔλαιον^{ngns} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} δέχομαι^{vdad2s} σύ$^{rpg-s}$ ὁ^{dans} γράμμα^{nans} καί^{c} καθίζω^{vpaanms} ταχέως^{bo} γράφω^{vdaa2s} πεντήκοντα^{tn}. **v.7** ἔπειτα^{bo} ἕτερος^{admsn} λέγω^{viaa3s} σύ$^{rpn-s}$ δέ^{c} πόσος^{roans} ὀφείλω^{vipa2s} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} ἑκατόν^{tn} κόρος^{namp} σῖτος^{ngms} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} δέχομαι^{vdad2s} σύ$^{rpg-s}$ ὁ^{dans} γράμμα^{nans} καί^{c} γράφω^{vdaa2s} ὀγδοήκοντα^{tn}. **v.8** καί^{c} ἐπαινέω^{viaa3s} ὁ^{dnms} κύριος^{nnms} ὁ^{dams} οἰκονόμος^{nams} ὁ^{dgfs} ἀδικία^{ngfs} ὅτι^{c} φρονίμως^{bo} ποιέω^{viaa3s} ὅτι^{c} ὁ^{dnmp} υἱός^{nnmp} ὁ^{dgms} αἰών^{ngms} οὗτος^{rdgms} φρόνιμος^{anmpc} ὑπέρ^{p} ὁ^{damp} υἱός^{namp} ὁ^{dgns} φῶς^{ngns} εἰς^{p} ὁ^{dafs} γενεά^{nafs} ὁ^{dafs} ἑαυτοῦ^{rxgmp} εἰμί^{vipx3p}. **v.9** κἀγώ$^{rpn-s}$ σύ$^{rpd-p}$ λέγω^{vipa1s} ποιέω^{vdaa2p} ἑαυτοῦ^{rxdmp} φίλος^{aampn} ἐκ^{p} ὁ^{dgns} μαμωνᾶς^{ngns} ὁ^{dgfs} ἀδικία^{ngfs} ἵνα^{c} ὅταν^{c} ἐκλείπω^{vsaa2p} δέχομαι^{vsad3p} σύ$^{rpa-p}$ εἰς^{p} ὁ^{dafp} αἰώνιος^{aafpn} σκηνή^{nafp}. **v.10** ὁ^{dnms} πιστός^{anmsn} ἐν^{p} ἐλάχιστος^{adnsn} καί^{c} ἐν^{p} πολύς^{adnsn} πιστός^{anmsn} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnms} ἐν^{p} ἐλάχιστος^{adnsn} ἄδικος^{anmsn} καί^{c} ἐν^{p} πολύς^{adnsn} ἄδικος^{anmsn} εἰμί^{vipx3s}. **v.11** εἰ^{qo} οὖν^{c} ἐν^{p} ὁ^{ddns} ἄδικος^{adnsn} μαμωνᾶς^{ndns} πιστός^{anfpn} οὐ^{xo} γίνομαι^{viad2p} ὁ^{dans} ἀληθινός^{aansn} τίς^{rqnms} σύ$^{rpd-p}$ πιστεύω^{vifa3s}. **v.12** καί^{c} εἰ^{qo} ἐν^{p} ὁ^{ddms} ἀλλότριος^{admsn} πιστός^{anfpn} οὐ^{xo} γίνομαι^{viad2p} ὁ^{dans} ὑμέτερος^{rsans} τίς^{rqnms} σύ$^{rpd-p}$ δίδωμι^{vifa3s}. **v.13** οὐδείς^{anfsn} οἰκέτης^{nnms} δύναμαι^{vipn3s} δύο^{ndmp} κύριος^{ndmp} δουλεύω^{vnpa} ἤ^{xo} γάρ^{c} ὁ^{dams} εἷς^{nams} μισέω^{vifa3s} καί^{c} ὁ^{dams} ἕτερος^{aamsn} ἀγαπάω^{vifa3s} ἤ^{xo} εἷς^{ngms} ἀντέχω^{vifd3s} καί^{c} ὁ^{ddms} ἕτερος^{agmsn} καταφρονέω^{vifa3s} οὐ^{xo} δύναμαι^{vipn2p} θεός^{ndms} δουλεύω^{vnpa} καί^{c} μαμωνᾶς^{ndns}.

μυκτήριζον αὐτόν. καὶ εἶπεν αὐτοῖς Ὑμεῖς ἐστε οἱ δικαιοῦντες 15
ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων ὁ δὲ θεὸς γινώσκει τὰς καρ-
δίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ
θεοῦ ἐστὶν. Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, ἀπὸ τότε 16
ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται καὶ πᾶς εἰς αὐτὴν βιάζεται.
Εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ 17
τοῦ νόμου μίαν κεραίαν πεσεῖν. Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα 18
αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ
ἀνδρὸς γαμῶν μοιχεύει. Ἄνθρωπος δέ τις ἦν πλούσιος καὶ ἐν- 19
εδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ ἡμέραν
λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος ὃς ἐβέβλητο πρὸς 20
τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος. καὶ ἐπιθυμῶν χορτασθῆναι ἀ- 21
πὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου,
ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. ἐ- 22
γένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ
τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, ἀπέθανεν δὲ καὶ ὁ
πλούσιος καὶ ἐτάφη. καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς 23
αὐτοῦ ὑπάρχων ἐν βασάνοις ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν
καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. καὶ αὐτὸς φωνήσας εἶπεν 24
Πάτερ Ἀβραάμ ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ
ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν

---

v.14 ἀκούω^{viia3p} δέ^{c} οὗτος^{rdanp} πᾶς^{aanpn} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} φιλάργυρος^{anmpn} ὑπάρχω^{vppanmp} καί^{c} ἐκμυκτηρίζω^{viia3p} αὐτός^{rpams}. **v.15** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} σύ$^{rpn-p}$ εἰμί^{vipx2p} ὁ^{dnmp} δικαιόω^{vppanmp} ἑαυτοῦ^{rxamp} ἐνώπιον^{bo} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} ὁ^{dnms} δέ^{c} θεός^{nnms} γινώσκω^{vipa3s} ὁ^{dafp} καρδία^{nafp} σύ$^{rpg-p}$ ὅτι^{c} ὁ^{dnns} ἐν^{p} ἄνθρωπος^{ndmp} ὑψηλός^{annsn} βδέλυγμα^{nnns} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} εἰμί^{vipx3s}. **v.16** ὁ^{dnms} νόμος^{nnms} καί^{c} ὁ^{dnmp} προφήτης^{nnmp} ἕως^{c} Ἰωάννης^{ngms} ἀπό^{p} τότε^{bo} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} εὐαγγελίζω^{vipp3s} καί^{c} πᾶς^{anmsn} εἰς^{p} αὐτός^{rpafs} βιάζομαι^{vipm3s}. **v.17** εὔκοπος^{annsc} δέ^{c} εἰμί^{vipx3s} ὁ^{dams} οὐρανός^{nams} καί^{c} ὁ^{dafs} γῆ^{nafs} παρέρχομαι^{vnaa} ἤ^{xo} ὁ^{dgms} νόμος^{ngms} εἷς^{nafs} κεραία^{nafs} πίπτω^{vnaa}. **v.18** πᾶς^{anmsn} ὁ^{dnms} ἀπολύω^{vppanms} ὁ^{dafs} γυνή^{nafs} αὐτός^{rpgms} καί^{c} γαμέω^{vppanms} ἕτερος^{aafsn} μοιχεύω^{vipa3s} καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ἀπολύω^{vpxpafs} ἀπό^{p} ἀνήρ^{ngms} γαμέω^{vppanms} μοιχεύω^{vipa3s}. **v.19** ἄνθρωπος^{nnms} δέ^{c} τι-σρινμσ εἰμί^{viix3s} πλούσιος^{anmsn} καί^{c} ἐνδιδύσκω^{viim3s} πορφύρα^{nafs} καί^{c} βύσσος^{nafs} εὐφραίνω^{vpppnms} κατά^{p} ἡμέρα^{nafs} λαμπρῶς^{bo}. **v.20** πτωχός^{anmsn} δέ^{c} τι-σρινμσ εἰμί^{viix3s} ὄνομα^{ndns} Λάζαρος^{nnms} ὅς^{rrnms} βάλλω^{viyp3s} πρός^{p} ὁ^{dams} πυλών^{nams} αὐτός^{rpgms} ἑλκόω^{vpxpnms}. **v.21** καί^{c} ἐπιθυμέω^{vppanms} χορτάζω^{vnap} ἀπό^{p} ὁ^{dgnp} ψιχίον^{ngnp} ὁ^{dgnp} πίπτω^{vppagnp} ἀπό^{p} ὁ^{dgfs} τράπεζα^{ngfs} ὁ^{dgms} πλούσιος^{agmsn} ἀλλά^{c} καί^{c} ὁ^{dnmp} κύων^{nnmp} ἔρχομαι^{vppnnmp} ἀπολείχω^{viia3p} ὁ^{danp} ἕλκος^{nanp} αὐτός^{rpgms}. **v.22** γίνομαι^{viad3s} δέ^{c} ἀποθνῄσκω^{vnaa} ὁ^{dams} πτωχός^{aamsn} καί^{c} ἀποφέρω^{vnap} αὐτός^{rpams} ὑπό^{p} ὁ^{dgmp} ἄγγελος^{ngmp} εἰς^{p} ὁ^{dams} κόλπος^{nams} ὁ^{dgms} Ἀβραάμ^{tp} ἀποθνῄσκω^{viaa3s} δέ^{c} καί^{c} ὁ^{dnms} πλούσιος^{anmsn} καί^{c} θάπτω^{viap3s}. **v.23** καί^{c} ἐν^{p} ὁ^{ddms} ᾅδης^{ndms} ἐπαίρω^{vpaanms} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgms} ὑπάρχω^{vppanms} ἐν^{p} βάσανος^{ndfp} ὁράω^{vipa3s} ὁ^{dams} Ἀβραάμ^{tp} ἀπό^{p} μακρόθεν^{bo} καί^{c} Λάζαρος^{nams} ἐν^{p} ὁ^{ddmp} κόλπος^{ndmp} αὐτός^{rpgms}.

μου ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. εἶπεν δὲ Ἀβραάμ, Τέκνον μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ Λάζαρος ὁμοίως τὰ κακά, νῦν δὲ ὧδε παρακαλεῖται σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πάσιν τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. εἶπεν δέ Ἐρωτῶ οὖν σε πάτερ ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου. ἔχω γὰρ πέντε ἀδελφούς ὅπως διαμαρτύρηται αὐτοῖς ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. λέγει αὐτῷ Ἀβραάμ ἔχουσιν Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. ὁ δὲ εἶπεν Οὐχί πάτερ Ἀβραάμ ἀλλ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς μετανοήσουσιν. εἶπεν δὲ αὐτῷ Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

17 Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς Ἀνένδεκτόν ἐστιν τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα οὐαὶ δὲ δι᾽ οὗ ἔρχεται, λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν θάλασσαν ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. προσέχετε ἑαυτοῖς ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου ἐπιτίμησον

---

v.24 καί^{c} αὐτός^{rpnms} φωνέω^{vpaanms} λέγω^{viaa3s} πατήρ^{nvms} Ἀβραάμ^{tp} ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ καί^{c} πέμπω^{vdaa2s} Λάζαρος^{nams} ἵνα^{c} βάπτω^{vsaa3s} ὁ^{dans} ἄκρον^{nans} ὁ^{dgms} δάκτυλος^{ngms} αὐτός^{rpgms} ὕδωρ^{ngns} καί^{c} καταψύχω^{vsaa3s} ὁ^{dafs} γλῶσσα^{nafs} ἐγώ$^{rpg-s}$ ὅτι^{c} ὀδυνάομαι^{vipp1s} ἐν^{p} ὁ^{ddfs} φλόξ^{ndfs} οὗτος^{rddfs}. **v.25** λέγω^{viaa3s} δέ^{c} Ἀβραάμ^{tp} τέκνον^{nvns} μιμνήσκομαι^{vdap2s} ὅτι^{c} ἀπολαμβάνω^{viaa2s} σύ$^{rpn-s}$ ὁ^{danp} ἀγαθός^{aanpn} σύ$^{rpg-s}$ ἐν^{p} ὁ^{ddfs} ζωή^{ndfs} σύ$^{rpg-s}$ καί^{c} Λάζαρος^{nnms} ὁμοίως^{bo} ὁ^{danp} κακός^{aanpn} νῦν^{bo} δέ^{c} ὅδε^{rdnms} παρακαλέω^{vipp3s} σύ$^{rpn-s}$ δέ^{c} ὀδυνάομαι^{vipp2s}. **v.26** καί^{c} ἐπί^{p} πᾶς^{adnpn} οὗτος^{rddnp} μεταξύ^{bo} ἐγώ$^{rpg-p}$ καί^{c} σύ$^{rpg-p}$ χάσμα^{nans} μέγας^{aansn} στηρίζω^{vixp3s} ὅπως^{bo} ὁ^{dnmp} θέλω^{vppanmp} διαβαίνω^{vnaa} ἐντεῦθεν^{bo} πρός^{p} σύ$^{rpa-p}$ μή^{xo} δύναμαι^{vspn3p} μηδέ^{c} ὁ^{dnmp} ἐκεῖθεν^{bo} πρός^{p} ἐγώ$^{rpa-p}$ διαπεράω^{vspa3p}. **v.27** λέγω^{viaa3s} δέ^{c} ἐρωτάω^{vipa1s} οὖν^{c} σύ$^{rpa-s}$ πατήρ^{nvms} ἵνα^{c} πέμπω^{vsaa2s} αὐτός^{rpams} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$. **v.28** ἔχω^{vipa1s} γάρ^{c} πέντε^{tn} ἀδελφός^{namp} ὅπως^{bo} διαμαρτύρομαι^{vspn3s} αὐτός^{rpdmp} ἵνα^{c} μή^{xo} καί^{c} αὐτός^{rpnmp} ἔρχομαι^{vsaa3p} εἰς^{p} ὁ^{dams} τόπος^{nams} οὗτος^{rdams} ὁ^{dgfs} βάσανος^{ngfs}. **v.29** λέγω^{vipa3s} αὐτός^{rpdms} Ἀβραάμ^{tp} ἔχω^{vipa3p} Μωϋσῆς^{nams} καί^{c} ὁ^{damp} προφήτης^{namp} ἀκούω^{vdaa3p} αὐτός^{rpgmp}. **v.30** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} οὐχί^{xo} πατήρ^{nvms} Ἀβραάμ^{tp} ἀλλά^{c} ἐάν^{qo} τι-σρινμσ ἀπό^{p} νεκρός^{agmpn} πορεύομαι^{vsao3s} πρός^{p} αὐτός^{rpamp} μετανοέω^{vifa3p}. **v.31** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdms} εἰ^{qo} Μωϋσῆς^{ngms} καί^{c} ὁ^{dgmp} προφήτης^{ngmp} οὐ^{xo} ἀκούω^{vipa3p} οὐδέ^{bo} ἐάν^{qo} τι-σρινμσ ἐκ^{p} νεκρός^{agmpn} ἀνίστημι^{vsaa3s} πείθω^{vifp3p}.
17. v.1 λέγω^{viaa3s} δέ^{c} πρός^{p} ὁ^{damp} μαθητής^{namp} ἀνένδεκτος^{annsn} εἰμί^{vipx3s} ὁ^{dgms} μή^{xo} ἔρχομαι^{vnaa} ὁ^{danp} σκάνδαλον^{nanp} οὐαί^{i} δέ^{c} διά^{p} ὅς^{rrgms} ἔρχομαι^{vipn3s}. **v.2** λυσιτελέω^{vipa3s} αὐτός^{rpdms} εἰ^{qo} μύλος^{nnms} ὀνικός^{anmsn} περίκειμαι^{vipn3s} περί^{p} ὁ^{dams} τράχηλος^{nams} αὐτός^{rpgms} καί^{c} ῥίπτω^{vixp3s} εἰς^{p} ὁ^{dafs} θάλασσα^{nafs} ἤ^{xo} ἵνα^{c} σκανδαλίζω^{vsaa3s} εἷς^{nams} ὁ^{dgmp} μικρός^{agmpn} οὗτος^{rdgmp}.

αὐτῷ καὶ ἐὰν μετανοήσῃ ἄφες αὐτῷ. καὶ ἐὰν ἑπτάκις τῆς ἡ- 4
μέρας ἁμάρτῃ εἰς σὲ καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ ἐπὶ
σὲ λέγων Μετανοῶ ἀφήσεις αὐτῷ. Καὶ εἶπον οἱ ἀπόστολοι τῷ 5
κυρίῳ Πρόσθες ἡμῖν πίστιν. εἶπεν δὲ ὁ κύριος Εἰ εἴχετε πίστιν 6
ὡς κόκκον σινάπεως ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ Ἐκριζώθητι
καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. Τίς δὲ 7
ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα ὃς εἰσελθόντι
ἐκ τοῦ ἀγροῦ ἐρεῖ Εὐθέως παρελθὼν ἀνάπεσαι, ἀλλ οὐχὶ ἐ- 8
ρεῖ αὐτῷ Ἑτοίμασον τί δειπνήσω καὶ περιζωσάμενος διακόνει
μοι ἕως φάγω καὶ πίω καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ.
μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησεν τὰ διαταχθέντα 9
αὐτῷ· οὐ δοκῶ. οὕτως καὶ ὑμεῖς ὅταν ποιήσητε πάντα τὰ δια- 10
ταχθέντα ὑμῖν λέγετε ὅτι Δοῦλοι ἀχρεῖοί ἐσμεν ὅτι ὃ ὠφείλομεν
ποιῆσαι πεποιήκαμεν. Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν 11
εἰς Ἰερουσαλὴμ καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ
Γαλιλαίας. καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην ἀπήντη- 12
σαν αὐτῷ δέκα λεπροὶ ἄνδρες οἳ ἔστησαν πόρρωθεν. καὶ αὐτοὶ 13
ἦραν φωνὴν λέγοντες Ἰησοῦ ἐπιστάτα ἐλέησον ἡμᾶς. καὶ ἰδὼν 14
εἶπεν αὐτοῖς Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν καὶ
ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. εἷς δὲ ἐξ αὐ- 15

---

v.3 προσέχω^{vdpa2p} ἑαυτοῦ^{rxdmp} ἐάν^{qo} δέ^{c} ἁμαρτάνω^{vsaa3s} εἰς^{p} σύ$^{rpa-s}$ ὁ^{dnms} ἀδελφός^{nnms} σύ$^{rpg-s}$ ἐπιτιμάω^{vdaa2s} αὐτός^{rpdms} καί^{c} ἐάν^{qo} μετανοέω^{vsaa3s} ἀφίημι^{vdaa2s} αὐτός^{rpdms}. **v.4** καί^{c} ἐάν^{qo} ἑπτάκις^{bo} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἁμαρτάνω^{vsaa3s} εἰς^{p} σύ$^{rpa-s}$ καί^{c} ἑπτάκις^{bo} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἐπιστρέφω^{vsaa3s} ἐπί^{p} σύ$^{rpa-s}$ λέγω^{vppanms} μετανοέω^{vipa1s} ἀφίημι^{vifa2s} αὐτός^{rpdms}. **v.5** καί^{c} λέγω^{viaa3p} ὁ^{dnmp} ἀπόστολος^{nnmp} ὁ^{ddms} κύριος^{ndms} προστίθημι^{vdaa2s} ἐγώ$^{rpd-p}$ πίστις^{nafs}. **v.6** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} κύριος^{nnms} εἰ^{qo} ἔχω^{viia2p} πίστις^{nafs} ὡς^{bo} κόκκος^{nams} σίναπι^{ngns} λέγω^{viia2p} ἄν^{xo} ὁ^{ddfs} συκάμινος^{admsn} οὗτος^{rddfs} ἐκριζόω^{vdap2s} καί^{c} φυτεύω^{vdap2s} ἐν^{p} ὁ^{ddfs} θάλασσα^{ndfs} καί^{c} ὑπακούω^{viaa3s} ἄν^{xo} σύ$^{rpd-p}$. **v.7** τίς^{rqnms} δέ^{c} ἐκ^{p} σύ$^{rpg-p}$ δοῦλος^{nams} ἔχω^{vppanms} ἀροτριάω^{vppaams} ἤ^{xo} ποιμαίνω^{vppaams} ὃς^{rrnms} εἰσέρχομαι^{vpaadms} ἐκ^{p} ὁ^{dgms} ἀγρός^{ngms} λέγω^{vifa3s} εὐθέως^{bo} παρέρχομαι^{vpaanms} ἀναπίπτω^{vdam2s}. **v.8** ἀλλά^{c} οὐχί^{xo} λέγω^{vifa3s} αὐτός^{rpdms} ἑτοιμάζω^{vdaa2s} τίς^{rqans} δειπνέω^{vsaa1s} καί^{c} περιζώννυμι^{vpamnms} διακονέω^{vdpa2s} ἐγώ$^{rpd-s}$ ἕως^{c} ἐσθίω^{vsaa1s} καί^{c} πίνω^{vsaa1s} καί^{c} μετά^{p} οὗτος^{rdanp} ἐσθίω^{vifd2s} καί^{c} πίνω^{vifd2s} σύ$^{rpn-s}$. **v.9** μή^{xo} χάρις^{nafs} ἔχω^{vipa3s} ὁ^{ddms} δοῦλος^{ndms} ἐκεῖνος^{rddms} ὅτι^{c} ποιέω^{viaa3s} ὁ^{danp} διατάσσω^{vpapanp} αὐτός^{rpdms} ὅς^{xo} δοκέω^{vipa1s}. **v.10** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ὅταν^{c} ποιέω^{vsaa2p} πᾶς^{aanpn} ὁ^{danp} διατάσσω^{vpapanp} σύ$^{rpd-p}$ λέγω^{vdpa2p} ὅτι^{c} δοῦλος^{nnmp} ἀχρεῖος^{anmpn} εἰμί^{vipx1p} ὅτι^{c} ὅς^{rrans} ὀφείλω^{viia1p} ποιέω^{vnaa} ποιέω^{vixa1p}. **v.11** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} πορεύομαι^{vnpn} αὐτός^{rpams} εἰς^{p} Ἰερουσαλήμ^{tp} καί^{c} αὐτός^{rpnms} διέρχομαι^{viin3s} διά^{p} μέσος^{agnsn} Σαμάρεια^{ngfs} καί^{c} Γαλιλαία^{ngfs}. **v.12** καί^{c} εἰσέρχομαι^{vppngms} αὐτός^{rpgms} εἰς^{p} τι-σριαφσ κώμη^{nafs} ἀπαντάω^{viaa3p} αὐτός^{rpdms} δέκα^{tn} λεπρός^{anmpn} ἀνήρ^{nnmp} ὅς^{rrnmp} ἵστημι^{viaa3p} πόρρωθεν^{bo}. **v.13** καί^{c} αὐτός^{rpnmp} αἴρω^{viaa3p} φωνή^{nafs} λέγω^{vppanmp} Ἰησοῦς^{nvms} ἐπιστάτης^{nvms} ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-p}$. **v.14** καί^{c} ὁράω^{vpaanms} λέγω^{viaa3s} αὐτός^{rpdmp} πορεύομαι^{vpaonmp} ἐπιδείκνυμι^{vdaa2p} ἑαυτοῦ^{rxamp} ὁ^{ddmp} ἱερεύς^{ndmp} καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} ὑπάγω^{vnpa} αὐτός^{rpamp} καθαρίζω^{viap3p}.

τῶν ἰδὼν ὅτι ἰάθη ὑπέστρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων
16 τὸν θεόν. καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ
17 εὐχαριστῶν αὐτῷ, καὶ αὐτὸς ἦν Σαμαρείτης. ἀποκριθεὶς δὲ
ὁ Ἰησοῦς εἶπεν Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν οἱ δὲ ἐννέα ποῦ.
18 οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ θεῷ εἰ μὴ ὁ
19 ἀλλογενὴς οὗτος. καὶ εἶπεν αὐτῷ Ἀναστὰς πορεύου, ἡ πίστις
20 σου σέσωκέν σε. Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε
ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν Οὐκ
21 ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως. οὐδὲ ἐροῦ-
σιν Ἰδοὺ ὧδε ἢ ἰδοὺ Ἐκεῖ Ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς
22 ὑμῶν ἐστιν. Εἶπεν δὲ πρὸς τοὺς μαθητάς Ἐλεύσονται ἡμέραι
ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰ-
23 δεῖν καὶ οὐκ ὄψεσθε. καὶ ἐροῦσιν ὑμῖν Ἰδοὺ ὧδε, ἢ Ἰδοὺ ἐκεῖ
24 μὴ ἀπέλθητε μηδὲ διώξητε. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστρά-
πτουσα ἐκ τῆς ὑπ οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει οὕτως
25 ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ. πρῶτον δὲ
δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς
26 ταύτης. καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε οὕτως
27 ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἤσθιον ἔ-
πινον ἐγάμουν ἐξεγαμίζοντο ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς

---

v.15 εἷς^{nnms} δέ^{c} ἐκ^{p} αὐτός^{rpgmp} ὁράω^{vpaanms} ὅτι^{c} ἰάομαι^{viap3s} ὑποστρέφω^{viaa3s} μετά^{p} φωνή^{ngfs} μέγας^{agfsn} δοξάζω^{vppanms} ὁ^{dams} θεός^{nams}. **v.16** καί^{c} πίπτω^{viaa3s} ἐπί^{p} πρόσωπον^{nans} παρά^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} εὐχαριστέω^{vppanms} αὐτός^{rpdms} καί^{c} αὐτός^{rpnms} εἰμί^{viix3s} Σαμαρίτης^{nnms}. **v.17** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} οὐχί^{xo} ὁ^{dnmp} δέκα^{tn} καθαρίζω^{viap3p} ὁ^{dnmp} δέ^{c} ἐννέα^{tn} ποῦ^{xo}. **v.18** οὐ^{xo} εὑρίσκω^{viap3p} ὑποστρέφω^{vpaanmp} δίδωμι^{vnaa} δόξα^{nafs} ὁ^{ddms} θεός^{ndms} εἰ^{qo} μή^{xo} ὁ^{dnms} ἀλλογενής^{anmsn} οὗτος^{rdnms}. **v.19** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ἀνίστημι^{vpaanms} πορεύομαι^{vdpn2s} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$. **v.20** ἐπερωτάω^{vpapnms} δέ^{c} ὑπό^{p} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} πότε^{xo} ἔρχομαι^{vipn3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdmp} καί^{c} λέγω^{viaa3s} οὐ^{xo} ἔρχομαι^{vipn3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} μετά^{p} παρατήρησις^{ngfs}. **v.21** οὐδέ^{bo} λέγω^{vifa3p} ἰδού^{vdaa2s} ὧδε^{bo} ἤ^{xo} ἰδού^{vdaa2s} ἐκεῖ^{bo} ἰδού^{vdaa2s} γάρ^{c} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἐντός^{bo} σύ$^{rpg-p}$ εἰμί^{vipx3s}. **v.22** λέγω^{viaa3s} δέ^{c} πρός^{p} ὁ^{damp} μαθητής^{namp} ἔρχομαι^{vifd3p} ἡμέρα^{nnfp} ὅτε^{bo} ἐπιθυμέω^{vifa2p} εἷς^{nafs} ὁ^{dgfp} ἡμέρα^{ngfp} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ὁράω^{vnaa} καί^{c} οὐ^{xo} ὁράω^{vifd2p}. **v.23** καί^{c} λέγω^{vifa3p} σύ$^{rpd-p}$ ἰδού^{vdaa2s} ὧδε^{bo} ἤ^{xo} ἰδού^{vdaa2s} ἐκεῖ^{bo} μή^{xo} ἀπέρχομαι^{vsaa2p} μηδέ^{c} διώκω^{vsaa2p}. **v.24** ὥσπερ^{bo} γάρ^{c} ὁ^{dnfs} ἀστραπή^{nnfs} ὁ^{dnfs} ἀστράπτω^{vppanfs} ἐκ^{p} ὁ^{dgfs} ὑπό^{p} οὐρανός^{nams} εἰς^{p} ὁ^{dafs} ὑπό^{p} οὐρανός^{nams} λάμπω^{vipa3s} οὕτω^{bo} εἰμί^{vifx3s} καί^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐν^{p} ὁ^{ddfs} ἡμέρα^{ndfs} αὐτός^{rpgms}. **v.25** πρῶτος^{bo} δέ^{c} δεῖ^{vipq3s} αὐτός^{rpams} πολύς^{aanpn} πάσχω^{vnaa} καί^{c} ἀποδοκιμάζω^{vnap} ἀπό^{p} ὁ^{dgfs} γενεά^{ngfs} οὗτος^{rdgfs}. **v.26** καί^{c} καθώς^{bo} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} ὁ^{dgms} Νῶε^{tp} οὕτω^{bo} εἰμί^{vifx3s} καί^{c} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} ἄνθρωπος^{ngms}.

τὴν κιβωτόν καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν ἅπαντας.
ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ, ἤσθιον ἔπινον ἠγό- 28
ραζον ἐπώλουν ἐφύτευον ᾠκοδόμουν, ᾗ δὲ ἡμέρᾳ ἐξῆλθεν Λὼτ 29
ἀπὸ Σοδόμων ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ οὐρανοῦ καὶ ἀπώλεσεν
ἅπαντας, κατὰ ταὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀ- 30
ποκαλύπτεται. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος 31
καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ μὴ καταβάτω ἆραι αὐτά καὶ
ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. μνημο- 32
νεύετε τῆς γυναικὸς Λώτ. ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ 33
σῶσαι ἀπολέσει αὐτήν καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτήν ζῳογονήσει
αὐτήν, λέγω ὑμῖν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς 34
ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται, δύο ἔσονται 35
ἀλήθουσαι ἐπὶ τὸ αὐτό μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀ-
φεθήσεται. καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ Ποῦ κύριε ὁ δὲ 37
εἶπεν αὐτοῖς Ὅπου τὸ σῶμα ἐκεῖ συναχθήσονται οἱ ἀετοὶ

18 Ἔλεγεν δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσ- 1
εύχεσθαι καὶ μὴ ἐκκακεῖν, λέγων Κριτής τις ἦν ἔν τινι πό- 2
λει τὸν θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος.
χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα 3
Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. καὶ οὐκ ἤθελησεν ἐπὶ 4

---

3 Χριστοῦ. Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν
ἀδελφοί καθὼς ἄξιόν ἐστιν ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ
πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους.
4 ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ
θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσιν τοῖς δι-
5 ωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε. ἔνδειγμα τῆς
δικαίας κρίσεως τοῦ θεοῦ εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασι-
6 λείας τοῦ θεοῦ ὑπὲρ ἧς καὶ πάσχετε. εἴπερ δίκαιον παρὰ θεῷ
7 ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν. καὶ ὑμῖν τοῖς θλι-
βομένοις ἄνεσιν μεθ ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ
8 ἀπ οὐρανοῦ μετ ἀγγέλων δυνάμεως αὐτοῦ. ἐν πυρὶ φλογός
διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσιν θεὸν καὶ τοῖς μὴ ὑπακού-
9 ουσιν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οἵτινες
δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ κυρίου καὶ
10 ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ. ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν

---

1. v.1 Παῦλος^{nnms} καί^{c} Σιλουανός^{nnms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{ddfs} ἐκκλησία^{ndfs} Θεσσαλονικεύς^{ngmp} ἐν^{p} θεός^{ndms} πατήρ^{ndms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ndms} Ἰησοῦς^{ndms} Χριστός^{ndms}. **v.2** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐχαριστέω^{vnpa} ὀφείλω^{vipa1p} ὁ^{ddms} θεός^{ndms} πάντοτε^{bo} περί^{p} σύ$^{rpg-p}$ ἀδελφός^{nvmp} καθώς^{bo} ἄξιος^{annsn} εἰμί^{vipx3s} ὅτι^{c} ὑπεραυξάνω^{vipa3s} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-p}$ καί^{c} πλεονάζω^{vipa3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} εἷς^{ngms} ἕκαστος^{agmsn} πᾶς^{agmpn} σύ$^{rpg-p}$ εἰς^{p} ἀλλήλων^{reamp}. **v.4** ὥστε^{c} ἐγώ$^{rpa-p}$ αὐτός^{rpamp} ἐν^{p} σύ$^{rpd-p}$ καυχάομαι^{vnpn} ἐν^{p} ὁ^{ddfp} ἐκκλησία^{ndfp} ὁ^{dgms} θεός^{ngms} ὑπέρ^{p} ὁ^{dgfs} ὑπομονή^{ngfs} σύ$^{rpg-p}$ καί^{c} πίστις^{ngfs} ἐν^{p} πᾶς^{admpn} ὁ^{ddmp} διωγμός^{ndmp} σύ$^{rpg-p}$ καί^{c} ὁ^{ddfp} θλῖψις^{ndfp} ὅς^{rrdfp} ἀνέχω^{vipn2p}. **v.5** ἔνδειγμα^{nnns} ὁ^{dgfs} δίκαιος^{agfsn} κρίσις^{ngfs} ὁ^{dgms} θεός^{ngms} εἰς^{p} ὁ^{dans} καταξιόω^{vnap} σύ$^{rpa-p}$ ὁ^{dgfs} βασιλεία^{ngfs} ὁ^{dgms} θεός^{ngms} ὑπέρ^{p} ὅς^{rrgfs} καί^{c} πάσχω^{vipa2p}. **v.6** εἴπερ^{qo} δίκαιος^{annsn} παρά^{p} θεός^{ndms} ἀνταποδίδωμι^{vnaa} ὁ^{ddmp} θλίβω^{vppadmp} σύ$^{rpa-p}$ θλῖψις^{nafs}. **v.7** καί^{c} σύ$^{rpd-p}$ ὁ^{ddmp} θλίβω^{vpppdmp} ἄνεσις^{nafs} μετά^{p} ἐγώ$^{rpg-p}$ ἐν^{p} ὁ^{ddfs} ἀποκάλυψις^{ndfs} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} ἀπό^{p} οὐρανός^{ngms} μετά^{p} ἄγγελος^{ngmp} δύναμις^{ngfs} αὐτός^{rpgms}. **v.8** ἐν^{p} πῦρ^{ndns} φλόξ^{ngfs} δίδωμι^{vppagms} ἐκδίκησις^{nafs} ὁ^{ddmp} μή^{xo} οἶδα^{vpxadmp} θεός^{nams} καί^{c} ὁ^{ddmp} μή^{xo} ὑπακούω^{vppadmp} ὁ^{ddns} εὐαγγέλιον^{ndns} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.9** ὅστις^{rrnmp} δίκη^{nafs} τίνω^{vifa3p} ὄλεθρος^{nams} αἰώνιος^{aamsn} ἀπό^{p} πρόσωπον^{ngns} ὁ^{dgms} κύριος^{ngms} καί^{c} ἀπό^{p} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgfs} ἰσχύς^{ngfs} αὐτός^{rpgms}.

τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς πιστεύουσιν
ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν ἵνα ὑμᾶς ἀξιώσῃ 11
τῆς κλήσεως ὁ θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγα-
θωσύνης καὶ ἔργον πίστεως ἐν δυνάμει. ὅπως ἐνδοξασθῇ τὸ 12
ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν
αὐτῷ κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοί ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου **2**
ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ αὐτόν. εἰς τὸ 2
μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε θροεῖσθαι μήτε
διὰ πνεύματος μήτε διὰ λόγου μητὲ δι ἐπιστολῆς ὡς δι ἡμῶν
ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ, μή τις ὑμᾶς ἐξαπατήσῃ 3
κατὰ μηδένα τρόπον ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ
ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας.
ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν 4
ἢ σέβασμα ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς Θεὸν καθίσαι
ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστιν θεός. Οὐ μνημονεύετε ὅτι ἔτι 5
ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν. καὶ νῦν τὸ κατέχον οἴδατε 6
εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυ- 7
στήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως

---

v.10 ὅταν[c] ἔρχομαι[vsaa3s] ἐνδοξάζομαι[vnap] ἐν[p] ὁ[ddmp] ἅγιος[admpn] αὐτός[rpgms] καί[c] θαυμάζω[vnap] ἐν[p] πᾶς[admpn] ὁ[ddmp] πιστεύω[vppadmp] ὅτι[c] πιστεύω[viap3s] ὁ[dnns] μαρτύριον[nnns] ἐγώ[rpg-p] ἐπί[p] σύ[rpa-p] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ἐκεῖνος[rddfs]. **v.11** εἰς[p] ὅς[rrans] καί[c] προσεύχομαι[vipn1p] πάντοτε[bo] περί[p] σύ[rpg-p] ἵνα[c] σύ[rpa-p] ἀξιόω[vsaa3s] ὁ[dgfs] κλῆσις[ngfs] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-p] καί[c] πληρόω[vsaa3s] πᾶς[aafsn] εὐδοκία[nafs] ἀγαθωσύνη[ngfs] καί[c] ἔργον[nans] πίστις[ngfs] ἐν[p] δύναμις[ndfs]. **v.12** ὅπως[bo] ἐνδοξάζομαι[vsap3s] ὁ[dnns] ὄνομα[nnns] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ἐν[p] σύ[rpd-p] καί[c] σύ[rpn-p] ἐν[p] αὐτός[rpdms] κατά[p] ὁ[dafs] χάρις[nafs] ὁ[dgms] θεός[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **2. v.1** ἐρωτάω[vipa1p] δέ[c] σύ[rpa-p] ἀδελφός[nvmp] ὑπέρ[p] ὁ[dgfs] παρουσία[ngfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] ἐγώ[rpg-p] ἐπισυναγωγή[ngfs] ἐπί[p] αὐτός[rpams]. **v.2** εἰς[p] ὁ[dans] μή[xo] ταχέως[bo] σαλεύω[vnap] σύ[rpa-p] ἀπό[p] ὁ[dgms] νοῦς[ngms] μήτε[c] θροέω[vnpp] μήτε[c] διά[p] πνεῦμα[ngns] μήτε[c] διά[p] λόγος[ngms] μήτε[c] διά[p] ἐπιστολή[ngfs] ὡς[bo] διά[p] ἐγώ[rpg-p] ὡς[bo] ὅτι[c] ἐνίστημι[vixa3s] ὁ[dnfs] ἡμέρα[nnfs] ὁ[dgms] Χριστός[ngms]. **v.3** μή[xo] τι-σρινμσ σύ[rpa-p] ἐξαπατάω[vsaa3s] κατά[p] μηδείς[aamsn] τρόπος[nams] ὅτι[c] ἐάν[qo] μή[xo] ἔρχομαι[vsaa3s] ὁ[dnfs] ἀποστασία[nnfs] πρῶτος[bo] καί[c] ἀποκαλύπτω[vsap3s] ὁ[dnms] ἄνθρωπος[nnms] ὁ[dgfs] ἁμαρτία[ngfs] ὁ[dnms] υἱός[nnms] ὁ[dgfs] ἀπώλεια[ngfs]. **v.4** ὁ[dnms] ἀντίκειμαι[vppnnms] καί[c] ὑπεραίρω[vpppnms] ἐπί[p] πᾶς[aamsn] λέγω[vpppans] θεός[nams] ἤ[xo] σέβασμα[nans] ὥστε[c] αὐτός[rpams] εἰς[p] ὁ[dams] ναός[nams] ὁ[dgms] θεός[ngms] ὡς[bo] θεός[nams] καθίζω[vnaa] ἀποδείκνυμι[vppaams] ἑαυτοῦ[rxams] ὅτι[c] εἰμί[vipx3s] θεός[nnms]. **v.5** οὐ[xo] μνημονεύω[vipa2p] ὅτι[c] ἔτι[bo] εἰμί[vppxnms] πρός[p] σύ[rpa-p] οὗτος[rdanp] λέγω[viia1s] σύ[rpd-p]. **v.6** καί[c] νῦν[bo] ὁ[dans] κατέχω[vppaans] οἶδα[vixa2p] εἰς[p] ὁ[dans] ἀποκαλύπτω[vnap] αὐτός[rpams] ἐν[p] ὁ[ddms] ἑαυτοῦ[rxgms] καιρός[ndms].

8 ἐκ μέσου γένηται. καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος ὃν ὁ
κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταρ-
9 γήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. οὗ ἐστιν ἡ παρου-
σία κατ ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις
10 καὶ τέρασιν ψεύδους. καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς
ἀπολλυμένοις ἀνθ ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο
11 εἰς τὸ σωθῆναι αὐτούς. καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς
12 ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει. ἵνα κρι-
θῶσιν πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ ἀλ᾽λ εὐδοκήσαντες
13 ἐν τῇ ἀδικίᾳ. Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε
περὶ ὑμῶν ἀδελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου ὅτι εἵλετο ὑμᾶς ὁ
θεὸς ἀ᾽π αρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει
14 ἀληθείας. εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς
15 περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἄρα οὖν
ἀδελφοί στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε
16 εἴτε διὰ λόγου εἴτε δι᾽ ἐπιστολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπή-
σας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν
17 χάριτι. παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι ὑμᾶς ἐν
παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

3 Τὸ λοιπὸν προσεύχεσθε ἀδελφοί περὶ ἡμῶν ἵνα ὁ λόγος τοῦ

---

v.7 ὁ^{dnns} γάρ^{c} μυστήριον^{nnns} ἤδη^{bo} ἐνεργέω^{vipm3s} ὁ^{dgfs} ἀνομία^{ngfs} μόνος^{bo} ὁ^{dnms} κατέχω^{vppanms} ἄρτι^{bo} ἕως^{c} ἐκ^{p} μέσος^{agnsn} γίνομαι^{vsad3s}. **v.8** καί^{c} τότε^{bo} ἀποκαλύπτω^{vifp3s} ὁ^{dnms} ἄνομος^{anmsn} ὅς^{rrams} ὁ^{dnms} κύριος^{nnms} ἀναλίσκω^{vifa3s} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{dgns} στόμα^{ngns} αὐτός^{rpgms} καί^{c} καταργέω^{vifa3s} ὁ^{ddfs} ἐπιφάνεια^{ndfs} ὁ^{dgfs} παρουσία^{ngfs} αὐτός^{rpgms}. **v.9** ὅς^{rrgms} εἰμί^{vipx3s} ὁ^{dnfs} παρουσία^{nnfs} κατά^{p} ἐνέργεια^{nafs} ὁ^{dgms} Σατανᾶς^{ngms} ἐν^{p} πᾶς^{adfsn} δύναμις^{ndfs} καί^{c} σημεῖον^{ndnp} καί^{c} τέρας^{ndnp} ψεῦδος^{ngns}. **v.10** καί^{c} ἐν^{p} πᾶς^{adfsn} ἀπάτη^{ndfs} ὁ^{dgfs} ἀδικία^{ngfs} ἐν^{p} ὁ^{ddmp} ἀπόλλυμι^{vppedmp} ἀντί^{p} ὅς^{rrgmp} ὁ^{dafs} ἀγάπη^{nafs} ὁ^{dgfs} ἀλήθεια^{ngfs} οὐ^{xo} δέχομαι^{viad3p} εἰς^{p} ὁ^{dans} σῴζω^{vnap} αὐτός^{rpamp}. **v.11** καί^{c} διά^{p} οὗτος^{rdans} πέμπω^{vifa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} ἐνέργεια^{nafs} πλάνη^{ngfs} εἰς^{p} ὁ^{dans} πιστεύω^{vnaa} αὐτός^{rpamp} ὁ^{ddns} ψεῦδος^{ndns}. **v.12** ἵνα^{c} κρίνω^{vsap3p} πᾶς^{anmpn} ὁ^{dnmp} μή^{xo} πιστεύω^{vpaanmp} ὁ^{ddfs} ἀλήθεια^{ndfs} ἀλλά^{c} εὐδοκέω^{vpaanmp} ἐν^{p} ὁ^{ddfs} ἀδικία^{ndfs}. **v.13** ἐγώ$^{rpn-p}$ δέ^{c} ὀφείλω^{vipa1p} εὐχαριστέω^{vnpa} ὁ^{ddms} θεός^{ndms} πάντοτε^{bo} περί^{p} σύ$^{rpg-p}$ ἀδελφός^{nvmp} ἀγαπάω^{vpxpnmp} ὑπό^{p} κύριος^{ngms} ὅτι^{c} αἱρέω^{viam3s} σύ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnms} ἀπό^{p} ἀρχή^{ngfs} εἰς^{p} σωτηρία^{nafs} ἐν^{p} ἁγιασμός^{ndms} πνεῦμα^{ngns} καί^{c} πίστις^{ndfs} ἀλήθεια^{ngfs}. **v.14** εἰς^{p} ὅς^{rrans} καλέω^{viaa3s} σύ$^{rpa-p}$ διά^{p} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ἐγώ$^{rpg-p}$ εἰς^{p} περιποίησις^{nafs} δόξα^{ngfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.15** ἄρα^{xo} οὖν^{c} ἀδελφός^{nvmp} στήκω^{vdpa2p} καί^{c} κρατέω^{vdpa2p} ὁ^{dafp} παράδοσις^{nafp} ὅς^{rrafp} διδάσκω^{viap2p} εἴτε^{c} διά^{p} λόγος^{ngms} εἴτε^{c} διά^{p} ἐπιστολή^{ngfs} ἐγώ$^{rpg-p}$. **v.16** αὐτός^{rpnms} δέ^{c} ὁ^{dnms} κύριος^{nnms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{nnms} Χριστός^{nnms} καί^{c} ὁ^{dnms} θεός^{nnms} καί^{c} πατήρ^{nnms} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} ἀγαπάω^{vpaanms} ἐγώ$^{rpa-p}$ καί^{c} δίδωμι^{vpaanms} παράκλησις^{nafs} αἰώνιος^{aafsn} καί^{c} ἐλπίς^{nafs} ἀγαθός^{aafsn} ἐν^{p} χάρις^{ndfs}. **v.17** παρακαλέω^{voaa3s} σύ$^{rpg-p}$ ὁ^{dafp} καρδία^{nafp} καί^{c} στηρίζω^{voaa3s} σύ$^{rpa-p}$ ἐν^{p} πᾶς^{admsn} λόγος^{ndms} καί^{c} ἔργον^{ndns} ἀγαθός^{adnsn}.

κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς. καὶ ἵνα 2
ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων, οὐ γὰρ
πάντων ἡ πίστις. πιστὸς δέ ἐστιν ὁ κύριος ὃς στηρίξει ὑμᾶς 3
καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ 4
ὑμᾶς ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε. Ὁ 5
δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ
θεοῦ καὶ εἰς ὑπομονὴν τοῦ Χριστοῦ. Παραγγέλλομεν δὲ ὑμῖν 6
ἀδελφοί ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ στέλλε-
σθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ
μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβεν παρ ἡμῶν. αὐτοὶ γὰρ 7
οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν.
οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος ἀλλ ἐν κόπῳ καὶ μό- 8
χθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα
ὑμῶν, οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν ἀλλ ἵνα ἑαυτοὺς τύπον δῶ- 9
μεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς 10
τοῦτο παρηγγέλλομεν ὑμῖν ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι μηδὲ
ἐσθιέτω. ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως 11
μηδὲν ἐργαζομένους ἀλλὰ περιεργαζομένους, τοῖς δὲ τοιού- 12
τοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστου, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρ-
τον ἐσθίωσιν. Ὑμεῖς δέ ἀδελφοί μὴ ἐκκακήσητε καλοποιοῦν- 13

---

3. v.1 ὁ^{dnns} λοιπός^{annsn} προσεύχομαι^{vdpn2p} ἀδελφός^{nvmp} περί^{p} ἐγώ$^{rpg-p}$ ἵνα^{c} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} κύριος^{ngms} τρέχω^{vspa3s} καί^{c} δοξάζω^{vspp3s} καθώς^{bo} καί^{c} πρός^{p} σύ$^{rpa-p}$. **v.2** καί^{c} ἵνα^{c} ῥύομαι^{vsap1p} ἀπό^{p} ὁ^{dgmp} ἄτοπος^{agmpn} καί^{c} πονηρός^{agmpn} ἄνθρωπος^{ngmp} οὐ^{xo} γάρ^{c} πᾶς^{agmpn} ὁ^{dnfs} πίστις^{nnfs}. **v.3** πιστός^{anmsn} δέ^{c} εἰμί^{vipx3s} ὁ^{dnms} κύριος^{nnms} ὅς^{rrnms} στηρίζω^{vifa3s} σύ$^{rpa-p}$ καί^{c} φυλάσσω^{vifa3s} ἀπό^{p} ὁ^{dgms} πονηρός^{agmsn}. **v.4** πείθω^{vixa1p} δέ^{c} ἐν^{p} κύριος^{ndms} ἐπί^{p} σύ$^{rpa-p}$ ὅτι^{c} ὅς^{rranp} παραγγέλλω^{vipa1p} σύ$^{rpd-p}$ καί^{c} ποιέω^{vipa2p} καί^{c} ποιέω^{vifa2p}. **v.5** ὁ^{dnms} δέ^{c} κύριος^{nnms} κατευθύνω^{voaa3s} σύ$^{rpg-p}$ ὁ^{dafp} καρδία^{nafp} εἰς^{p} ὁ^{dafs} ἀγάπη^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} εἰς^{p} ὑπομονή^{nafs} ὁ^{dgms} Χριστός^{ngms}. **v.6** παραγγέλλω^{vipa1p} δέ^{c} σύ$^{rpd-p}$ ἀδελφός^{nvmp} ἐν^{p} ὄνομα^{ndns} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} στέλλω^{vnpm} σύ$^{rpa-p}$ ἀπό^{p} πᾶς^{agmsn} ἀδελφός^{ngms} ἀτάκτως^{bo} περιπατέω^{vppagms} καί^{c} μή^{xo} κατά^{p} ὁ^{dafs} παράδοσις^{nafs} ὅς^{rrafs} παραλαμβάνω^{viaa3s} παρά^{p} ἐγώ$^{rpg-p}$. **v.7** αὐτός^{rpnmp} γάρ^{c} οἶδα^{vixa2p} πῶς^{bo} δεῖ^{vipq3s} μιμέομαι^{vnpn} ἐγώ$^{rpa-p}$ ὅτι^{c} οὐ^{xo} ἀτακτέω^{viaa1p} ἐν^{p} σύ$^{rpd-p}$. **v.8** οὐδέ^{bo} δωρεάν^{bo} ἄρτος^{nams} ἐσθίω^{viaa1p} παρά^{p} τι-σριγμσ ἀλλά^{c} ἐν^{p} κόπος^{ndms} καί^{c} μόχθος^{ndms} νύξ^{nafs} καί^{c} ἡμέρα^{nafs} ἐργάζομαι^{vppnnmp} πρός^{p} ὁ^{dans} μή^{xo} ἐπιβαρέω^{vnaa} τι-σριαμσ σύ$^{rpg-p}$. **v.9** οὐ^{xo} ὅτι^{c} οὐ^{xo} ἔχω^{vipa1p} ἐξουσία^{nafs} ἀλλά^{c} ἵνα^{c} ἑαυτοῦ^{rxamp} τύπος^{nams} δίδωμι^{vsaa1p} σύ$^{rpd-p}$ εἰς^{p} ὁ^{dans} μιμέομαι^{vnpn} ἐγώ$^{rpa-p}$. **v.10** καί^{c} γάρ^{c} ὅτε^{bo} εἰμί^{viix1p} πρός^{p} σύ$^{rpa-p}$ οὗτος^{rdans} παραγγέλλω^{viia1p} σύ$^{rpd-p}$ ὅτι^{c} εἰ^{qo} τι-σριγμσ οὐ^{xo} θέλω^{vipa3s} ἐργάζομαι^{vnpn} μηδέ^{c} ἐσθίω^{vdpa3s}. **v.11** ἀκούω^{vipa1p} γάρ^{c} τι-σριαμπ περιπατέω^{vppaamp} ἐν^{p} σύ$^{rpd-p}$ ἀτάκτως^{bo} μηδείς^{aansn} ἐργάζομαι^{vppnamp} ἀλλά^{c} περιεργάζομαι^{vppnamp}. **v.12** ὁ^{ddmp} δέ^{c} τοιοῦτος^{rddmp} παραγγέλλω^{vipa1p} καί^{c} παρακαλέω^{vipa1p} διά^{p} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ἵνα^{c} μετά^{p} ἡσυχία^{ngfs} ἐργάζομαι^{vppnnmp} ὁ^{dams} ἑαυτοῦ^{rxgmp} ἄρτος^{nams} ἐσθίω^{vspa3p}.

14 τες. εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς
τοῦτον σημειοῦσθε καὶ μὴ συναναμίγνυσθε αὐτῷ ἵνα ἐντραπῇ,
15, 16 καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. Αὐτὸς
δὲ ὁ κύριος τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν
17 παντὶ τρόπῳ ὁ κύριος μετὰ πάντων ὑμῶν. Ὁ ἀσπασμὸς τῇ ἐμῇ
χειρὶ Παύλου ὅ ἐστιν σημεῖον ἐν πάσῃ ἐπιστολῇ, οὕτως γράφω.
18 ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν
ἀμήν. [πρός Θεσσαλονικείς δευτέρα ἐγράφη ἀπό Ἀθηνῶν]

---

v.13 σύ[rpn-p] δέ[c] ἀδελφός[nvmp] μή[xo] ἐγκακέω[vsaa2p] καλοποιέω[vppanmp]. **v.14** εἰ[qo] δέ[c] τι-σρινμσ οὐ[xo] ὑπακούω[vipa3s] ὁ[ddms] λόγος[ndms] ἐγώ[rpg-p] διά[p] ὁ[dgfs] ἐπιστολή[ngfs] οὗτος[rdams] σημειόω[vdpm2p] καί[c] μή[xo] συναναμίγνυμι[vdpm2p] αὐτός[rpdms] ἵνα[c] ἐντρέπω[vsap3s]. **v.15** καί[c] μή[xo] ὡς[bo] ἐχθρός[aamsn] ἡγέομαι[vdpn2p] ἀλλά[c] νουθετέω[vdpa2p] ὡς[bo] ἀδελφός[nams]. **v.16** αὐτός[rpnms] δέ[c] ὁ[dnms] κύριος[nnms] ὁ[dgfs] εἰρήνη[ngfs] δίδωμι[voaa3s] σύ[rpd-p] ὁ[dafs] εἰρήνη[nafs] διά[p] πᾶς[agmsn] ἐν[p] πᾶς[admsn] τρόπος[ndms] ὁ[dnms] κύριος[nnms] μετά[p] πᾶς[agmpn] σύ[rpg-p]. **v.17** ὁ[dnms] ἀσπασμός[nnms] ὁ[ddfs] ἐμός[rsdfs] χείρ[ndfs] Παῦλος[ngms] ὅς[rrnns] εἰμί[vipx3s] σημεῖον[nnns] ἐν[p] πᾶς[adfsn] ἐπιστολή[ndfs] οὕτω[bo] γράφω[vipa1s]. **v.18** ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] πᾶς[agmpn] σύ[rpg-p] ἀμήν[th] πρός[p] Θεσσαλονικεύς[namp] δεύτερος[anfsn] γράφω[viap3s] ἀπό[p] Ἀθῆναι[ngfp].

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ ἐπιταγὴν θεοῦ σωτῆ- **1**
ρος ἡμῶν καὶ Κυριόυ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. Τι- 2
μοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ
πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Καθὼς 3
παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ πορευόμενος εἰς Μα-
κεδονίαν ἵνα παραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν. μηδὲ 4
προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις αἵτινες ζητή-
σεις παρέχουσιν μᾶλλον ἢ οἰκονομίαν θεοῦ τὴν ἐν πίστει. τὸ 5
δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας
καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου. ὧν τινες 6
ἀστοχήσαντες ἐξετράπησαν εἰς ματαιολογίαν. θέλοντες εἶναι 7
νομοδιδάσκαλοι μὴ νοοῦντες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων
διαβεβαιοῦνται. Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος ἐάν τις αὐτῷ 8
νομίμως χρῆται. εἰδὼς τοῦτο ὅτι δικαίῳ νόμος οὐ κεῖται ἀ- 9
νόμοις δὲ καὶ ἀνυποτάκτοις ἀσεβέσιν καὶ ἁμαρτωλοῖς ἀνοσίοις
καὶ βεβήλοις πατραλῴαις καὶ μητραλῴαις ἀνδροφόνοις. πόρ- 10
νοις ἀρσενοκοίταις ἀνδραποδισταῖς ψεύσταις ἐπιόρκοις καὶ εἴ
τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται. κατὰ τὸ εὐαγ- 11

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κατά^{p} ἐπιταγή^{nafs} θεός^{ngms} σωτήρ^{ngms} ἐγώ$^{rpg\text{-}p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgfs} ἐλπίς^{ngfs} ἐγώ$^{rpg\text{-}p}$. **v.2** Τιμόθεος^{ndms} γνήσιος^{adnsn} τέκνον^{ndns} ἐν^{p} πίστις^{ndfs} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}p}$ καί^{c} Χριστός^{ngms} Ἰησοῦς^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg\text{-}p}$. **v.3** καθώς^{bo} παρακαλέω^{viaa1s} σύ$^{rpa\text{-}s}$ προσμένω^{vnaa} ἐν^{p} Ἔφεσος^{ndfs} πορεύομαι^{vppnnms} εἰς^{p} Μακεδονία^{nafs} ἵνα^{c} παραγγέλλω^{vsaa2s} τι-σριδμπ μή^{xo} ἑτεροδιδασκαλέω^{vnpa}. **v.4** μηδέ^{c} προσέχω^{vnpa} μῦθος^{ndmp} καί^{c} γενεαλογία^{ndfp} ἀπέραντος^{adfpn} ὅστις^{rrnfp} ζήτησις^{nafp} παρέχω^{vipa3p} μᾶλλον^{bo} ἤ^{xo} οἰκονομία^{nafs} θεός^{ngms} ὁ^{dafs} ἐν^{p} πίστις^{ndfs}. **v.5** ὁ^{dnns} δέ^{c} τέλος^{nnns} ὁ^{dgfs} παραγγελία^{ngfs} εἰμί^{vipx3s} ἀγάπη^{nnfs} ἐκ^{p} καθαρός^{agfsn} καρδία^{ngfs} καί^{c} συνείδησις^{ngfs} ἀγαθός^{agfsn} καί^{c} πίστις^{ngfs} ἀνυπόκριτος^{agfsn}. **v.6** ὅς^{rrgfp} τι-σ-ρινμπ ἀστοχέω^{vpaanmp} ἐκτρέπω^{viap3p} εἰς^{p} ματαιολογία^{nafs}. **v.7** θέλω^{vppanmp} εἰμί^{vnpx} νομοδιδάσκαλος^{nnmp} μή^{xo} νοέω^{vppanmp} μήτε^{c} ὅς^{rranp} λέγω^{vipa3p} μήτε^{c} περί^{p} τίς^{rqgnp} διαβεβαιόομαι^{vipn3p}. **v.8** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} καλός^{anmsn} ὁ^{dnms} νόμος^{nnms} ἐάν^{qo} τι-σρινμσ αὐτός^{rpdms} νομίμως^{bo} χράομαι^{vspn3s}. **v.9** οἶδα^{vpxanms} οὗτος^{rdans} ὅτι^{c} δίκαιος^{admsn} νόμος^{nnms} οὐ^{xo} κεῖμαι^{vipn3s} ἄνομος^{admpn} δέ^{c} καί^{c} ἀνυπότακτος^{admpn} ἀσεβής^{admpn} καί^{c} ἁμαρτωλός^{admpn} ἀνόσιος^{admpn} καί^{c} βέβηλος^{admpn} πατρολῴας^{ndmp} καί^{c} μητρολῴας^{ndmp} ἀνδροφόνος^{ndmp}. **v.10** πόρνος^{ndmp} ἀρσενοκοίτης^{ndmp} ἀνδραποδιστής^{ndmp} ψεύστης^{ndmp} ἐπίορκος^{admpn} καί^{c} εἰ^{qo} τι-σρινν σ ἕτερος^{annsn} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} διδασκαλία^{ndfs} ἀντίκειμαι^{vipn3s}.

12 γέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ ὃ ἐπιστεύθην ἐγώ. Καὶ
Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν
13 ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν. τὸν πρότερον
ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν ἀλλ' ἠλεήθην ὅτι
14 ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, ὑπερεπλεόνασεν δὲ ἡ χάρις τοῦ
κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.
15 πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος ὅτι Χριστὸς Ἰησοῦς
ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι ὧν πρῶτός εἰμι ἐγώ.
16 ἀλλὰ διὰ τοῦτο ἠλεήθην ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς
Χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελ-
17 λόντων πιστεύειν ἐπ αὐτῷ εἰς ζωὴν αἰώνιον. τῷ δὲ βασιλεῖ
τῶν αἰώνων ἀφθάρτῳ ἀοράτῳ μόνῳ σοφῷ θεῷ τιμὴ καὶ δόξα
18 εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ταύτην τὴν παραγγελίαν
παρατίθεμαί σοι τέκνον Τιμόθεε κατὰ τὰς προαγούσας ἐπὶ σὲ
19 προφητείας ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν. ἔ-
χων πίστιν καὶ ἀγαθὴν συνείδησιν ἥν τινες ἀπωσάμενοι περὶ
20 τὴν πίστιν ἐναυάγησαν. ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος
οὓς παρέδωκα τῷ Σατανᾷ ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν.

2 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις προσευ-
2 χάς ἐντεύξεις εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων. ὑπὲρ βα-
σιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων ἵνα ἥρεμον καὶ ἡ-

---

v.11 κατάp ὁdans εὐαγγέλιονnans ὁdgfs δόξαngfs ὁdgms μακάριοςagmsn θεόςngms ὅςrrans πιστεύωviap1s ἐγώrpn-s. **v.12** καίc χάριςnafs ἔχωvipa1s ὁddms ἐνδυναμόωvpaadms ἐγώrpa-s Χριστόςndms Ἰησοῦςndms ὁddms κύριοςndms ἐγώrpg-p ὅτιc πιστόςaamsn ἐγώrpa-s ἡγέομαιviad3s τίθημιvpamnms εἰςp διακονίαnafs. **v.13** ὁdams πρότεροςbo εἰμίvppxams βλάσφημοςaamsn καίc διώκτηςnams καίc ὑβριστήςnams ἀλλάc ἐλεέωviap1s ὅτιc ἀγνοέωvppanms ποιέωviaa1s ἐνp ἀπιστίαndfs. **v.14** ὑπερπλεονάζωviaa3s δέc ὁdnfs χάριςnnfs ὁdgms κύριοςngms ἐγώrpg-p μετάp πίστιςngfs καίc ἀγάπηngfs ὁdgfs ἐνp Χριστόςndms Ἰησοῦςndms. **v.15** πιστόςanmsn ὁdnms λόγοςnnms καίc πᾶςagfsn ἀποδοχήngfs ἄξιοςanmsn ὅτιc Χριστόςnnms Ἰησοῦςnnms ἔρχομαιviaa3s εἰςp ὁdams κόσμοςnams ἁμαρτωλόςaampn σῴζωvnaa ὅςrrgmp πρῶτοςanmsn εἰμίvipx1s ἐγώrpn-s. **v.16** ἀλλάc διάp οὗτοςrdans ἐλεέωviap1s ἵναc ἐνp ἐγώrpd-s πρῶτοςadmsn ἐνδείκνυμιvsam3s Ἰησοῦςnnms Χριστόςnnms ὁdafs πᾶςaafsn μακροθυμίαnafs πρόςp ὑποτύπωσιςnafs ὁdgmp μέλλωvppagmp πιστεύωvnpa ἐπίp αὐτόςrpdms εἰςp ζωήnafs αἰώνιοςaafsn. **v.17** ὁddms δέc βασιλεύςndms ὁdgmp αἰώνngmp ἄφθαρτοςadmsn ἀόρατοςadmsn μόνοςadmsn σοφόςadmsn θεόςndms τιμήnnfs καίc δόξαnnfs εἰςp ὁdamp αἰώνnamp ὁdgmp αἰώνngmp ἀμήνth. **v.18** οὗτοςrdafs ὁdafs παραγγελίαnafs παρατίθημιvipm1s σύrpd-s τέκνονnvns Τιμόθεοςnvms κατάp ὁdafp προάγωvppaafp ἐπίp σύrpa-s προφητείαnafp ἵναc στρατεύωvipm2s ἐνp αὐτόςrpdfp ὁdafs καλόςaafsn στρατείαnafs. **v.19** ἔχωvppanms πίστιςnafs καίc ἀγαθόςaafsn συνείδησιςnafs ὅςrrafs τι-σρινμπ ἀπωθέομαιvpadnmp περίp ὁdafs πίστιςnafs ναυαγέωviaa3p. **v.20** ὅςrrgmp εἰμίvipx3s Ὑμέναιοςnnms καίc Ἀλέξανδροςnnms ὅςrramp παραδίδωμιviaa1s ὁddms Σατανᾶςndms ἵναc παιδεύωvsap3p μήxo βλασφημέωvnpa. **2. v.1** παρακαλέωvipa1s οὖνc πρῶτοςbo πᾶςagnpn ποιέωvnpp δέησιςnafp προσευχήnafp ἔντευξιςnafp εὐχαριστίαnafp ὑπέρp πᾶςagmpn ἄνθρωποςngmp.

σύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. τοῦτο 3
γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ. ὃς 4
πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν. εἷς γὰρ θεός εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄν- 5
θρωπος Χριστὸς Ἰησοῦς. ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάν- 6
των τὸ μαρτύριον καιροῖς ἰδίοις. εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ 7
ἀπόστολος ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι διδάσκαλος
ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. Βούλομαι οὖν προσεύχεσθαι 8
τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς
ὀργῆς καὶ διαλογισμοῦ. ὡσαύτως καὶ τὰς γυναῖκας ἐν κατα- 9
στολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς μὴ
ἐν πλέγμασιν ἢ χρυσῷ, ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ.
ἀλλ ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι ἔργων 10
ἀγαθῶν. γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ, γυ- 11, 12
ναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω οὐδὲ αὐθεντεῖν ἀνδρός ἀλλ
εἶναι ἐν ἡσυχίᾳ. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη εἶτα Εὔα. καὶ 13, 14
Ἀδὰμ οὐκ ἠπατήθη ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγο-
νεν, σωθήσεται δὲ διὰ τῆς τεκνογονίας ἐὰν μείνωσιν ἐν πίστει 15
καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης,

πιστὸς ὁ λόγος Εἴ τις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου ἐπι- **3**
θυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι μιᾶς γυναι- 2

---

v.2 ὑπέρ^{p} βασιλεύς^{ngmp} καί^{c} πᾶς^{agmpn} ὁ^{dgmp} ἐν^{p} ὑπεροχή^{ndfs} εἰμί^{vppxgmp} ἵνα^{c} ἤρεμος^{aamsn} καί^{c} ἡσύχιος^{aamsn} βίος^{nams} διάγω^{vspa1p} ἐν^{p} πᾶς^{adfsn} εὐσέβεια^{ndfs} καί^{c} σεμνότης^{ndfs}. **v.3** οὗτος^{rdnns} γάρ^{c} καλός^{annsn} καί^{c} ἀπόδεκτος^{annsn} ἐνώπιον^{bo} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.4** ὅς^{rrnms} πᾶς^{aampn} ἄνθρωπος^{namp} θέλω^{vipa3s} σῴζω^{vnap} καί^{c} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ἔρχομαι^{vnaa}. **v.5** εἷς^{nnms} γάρ^{c} θεός^{nnms} εἷς^{nnms} καί^{c} μεσίτης^{nnms} θεός^{ngms} καί^{c} ἄνθρωπος^{ngmp} ἄνθρωπος^{nnms} Χριστός^{nnms} Ἰησοῦς^{nnms}. **v.6** ὁ^{dnms} δίδωμι^{vpaanms} ἑαυτοῦ^{rxams} ἀντίλυτρον^{nans} ὑπέρ^{p} πᾶς^{agmpn} ὁ^{dans} μαρτύριον^{nans} καιρός^{ndmp} ἴδιος^{admpn}. **v.7** εἰς^{p} ὅς^{rrans} τίθημι^{viap1s} ἐγώ$^{rpn-s}$ κῆρυξ^{nnms} καί^{c} ἀπόστολος^{nnms} ἀλήθεια^{nafs} λέγω^{vipa1s} ἐν^{p} Χριστός^{ndms} οὐ^{xo} ψεύδομαι^{vipn1s} διδάσκαλος^{nnms} ἔθνος^{ngnp} ἐν^{p} πίστις^{ndfs} καί^{c} ἀλήθεια^{ndfs}. **v.8** βούλομαι^{vipn1s} οὖν^{c} προσεύχομαι^{vnpn} ὁ^{damp} ἀνήρ^{namp} ἐν^{p} πᾶς^{admsn} τόπος^{ndms} ἐπαίρω^{vppaamp} ὅσιος^{aampn} χείρ^{nafp} χωρίς^{bo} ὀργή^{ngfs} καί^{c} διαλογισμός^{ngms}. **v.9** ὡσαύτως^{bo} καί^{c} ὁ^{dafp} γυνή^{nafp} ἐν^{p} καταστολή^{ndfs} κόσμιος^{adfsn} μετά^{p} αἰδώς^{ngfs} καί^{c} σωφροσύνη^{ngfs} κοσμέω^{vnpa} ἑαυτοῦ^{rxafp} μή^{xo} ἐν^{p} πλέγμα^{ndnp} ἤ^{xo} χρυσός^{ndms} ἤ^{xo} μαργαρίτης^{ndmp} ἤ^{xo} ἱματισμός^{ndms} πολυτελής^{admsn}. **v.10** ἀλλά^{c} ὅς^{rrnns} πρέπω^{vipq3s} γυνή^{ndfp} ἐπαγγέλλομαι^{vppndfp} θεοσέβεια^{nafs} διά^{p} ἔργον^{ngnp} ἀγαθός^{agnpn}. **v.11** γυνή^{nnfs} ἐν^{p} ἡσυχία^{ndfs} μανθάνω^{vdpa3s} ἐν^{p} πᾶς^{adfsn} ὑποταγή^{ndfs}. **v.12** γυνή^{ndfs} δέ^{c} διδάσκω^{vnpa} οὐ^{xo} ἐπιτρέπω^{vipa1s} οὐδέ^{bo} αὐθεντέω^{vnpa} ἀνήρ^{ngms} ἀλλά^{c} εἰμί^{vnpx} ἐν^{p} ἡσυχία^{ndfs}. **v.13** Ἀδάμ^{tp} γάρ^{c} πρῶτος^{anmsn} πλάσσω^{viap3s} εἶτα^{bo} Εὔα^{nnfs}. **v.14** καί^{c} Ἀδάμ^{tp} οὐ^{xo} ἀπατάω^{viap3s} ὁ^{dnfs} δέ^{c} γυνή^{nnfs} ἀπατάω^{vpapnfs} ἐν^{p} παράβασις^{ndfs} γίνομαι^{vixa3s}. **v.15** σῴζω^{vifp3s} δέ^{c} διά^{p} ὁ^{dgfs} τεκνογονία^{ngfs} ἐάν^{qo} μένω^{vsaa3p} ἐν^{p} πίστις^{ndfs} καί^{c} ἀγάπη^{ndfs} καί^{c} ἁγιασμός^{ndms} μετά^{p} σωφροσύνη^{ngfs}. **3. v.1** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} εἰ^{qo} τι-ορινμσ ἐπισκοπή^{ngfs} ὀρέγω^{vipm3s} καλός^{agnsn} ἔργον^{ngns} ἐπιθυμέω^{vipa3s}.

κὸς ἄνδρα νηφάλεον σώφρονα κόσμιον φιλόξενον διδακτικόν.
3 μὴ πάροινον μὴ πλήκτην μὴ αἰσχροκερδῆ, ἀλ'λ ἐπιεικῆ ἄμα-
4 χον ἀφιλάργυρον. τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον τέκνα
5 ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. εἰ δέ τις τοῦ ἰδίου
οἴκου προστῆναι οὐκ οἶδεν πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται.
6 μὴ νεόφυτον ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.
7 δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν ἵνα μὴ
8 εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. Διακόνους
ὡσαύτως σεμνούς μὴ διλόγους μὴ οἴνῳ πολλῷ προσέχοντας μὴ
9 αἰσχροκερδεῖς. ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ
10 συνειδήσει. καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον εἶτα δια-
11 κονείτωσαν ἀνέγκλητοι ὄντες. γυναῖκας ὡσαύτως σεμνάς μὴ
12 διαβόλους νηφαλέους πιστὰς ἐν πᾶσιν. διάκονοι ἔστωσαν μι-
ᾶς γυναικὸς ἄνδρες τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων
13 οἴκων. οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν
περιποιοῦνται καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ
14, 15 Ἰησοῦ. Ταῦτά σοι γράφω ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον, ἐὰν
δὲ βραδύνω ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι ἥτις
ἐστὶν ἐκκλησία θεοῦ ζῶντος στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.
16 καὶ ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον, Θε-
ὸς ἐφανερώθη ἐν σαρκί ἐδικαιώθη ἐν πνεύματι ὤφθη ἀγγέλοις

---

v.2 δεῖ^{vipq3s} οὖν^{c} ὁ^{dams} ἐπίσκοπος^{nams} ἀνεπίλημπτος^{aamsn} εἰμί^{vnpx} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nams} νηφάλιος^{aamsn} σώφρων^{aamsn} κόσμιος^{aamsn} φιλόξενος^{aamsn} διδακτικός^{aamsn}. **v.3** μή^{xo} πάροινος^{aamsn} μή^{xo} πλήκτης^{nams} μή^{xo} αἰσχροκερδής^{aamsn} ἀλλά^{c} ἐπιεικής^{aamsn} ἄμαχος^{aamsn} ἀφιλάργυρος^{aamsn}. **v.4** ὁ^{dgms} ἴδιος^{agmsn} οἶκος^{ngms} καλῶς^{bo} προΐστημι^{vppmams} τέκνον^{nanp} ἔχω^{vppaams} ἐν^{p} ὑποταγή^{ndfs} μετά^{p} πᾶς^{agfsn} σεμνότης^{ngfs}. **v.5** εἰ^{qo} δέ^{c} τι-σρινμσ ὁ^{dgms} ἴδιος^{agmsn} οἶκος^{ngms} προΐστημι^{vnaa} οὐ^{xo} οἶδα^{vixa3s} πῶς^{bo} ἐκκλησία^{ngfs} θεός^{ngms} ἐπιμελέομαι^{vifd3s}. **v.6** μή^{xo} νεόφυτος^{aamsn} ἵνα^{c} μή^{xo} τυφόω^{vpapnms} εἰς^{p} κρίμα^{nans} ἐμπίπτω^{vsaa3s} ὁ^{dgms} διάβολος^{agmsn}. **v.7** δεῖ^{vipq3s} δέ^{c} αὐτός^{rpams} καί^{c} μαρτυρία^{nafs} καλός^{aafsn} ἔχω^{vnpa} ἀπό^{p} ὁ^{dgmp} ἔξωθεν^{bo} ἵνα^{c} μή^{xo} εἰς^{p} ὀνειδισμός^{nams} ἐμπίπτω^{vsaa3s} καί^{c} παγίς^{nafs} ὁ^{dgms} διάβολος^{agmsn}. **v.8** διάκονος^{namp} ὡσαύτως^{bo} σεμνός^{aampn} μή^{xo} δίλογος^{aampn} μή^{xo} οἶνος^{ndms} πολύς^{admsn} προσέχω^{vppaamp} μή^{xo} αἰσχροκερδής^{aampn}. **v.9** ἔχω^{vppaamp} ὁ^{dans} μυστήριον^{nans} ὁ^{dgfs} πίστις^{ngfs} ἐν^{p} καθαρός^{adfsn} συνείδησις^{ndfs}. **v.10** καί^{c} οὗτος^{rdnmp} δέ^{c} δοκιμάζω^{vdpp3p} πρῶτος^{bo} εἶτα^{bo} διακονέω^{vdpa3p} ἀνέγκλητος^{anmpn} εἰμί^{vppxnmp}. **v.11** γυνή^{nafp} ὡσαύτως^{bo} σεμνός^{aafpn} μή^{xo} διάβολος^{aafpn} νηφάλιος^{aampn} πιστός^{aafpn} ἐν^{p} πᾶς^{adnpn}. **v.12** διάκονος^{nnmp} εἰμί^{vdpx3p} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nnmp} τέκνον^{ngnp} καλῶς^{bo} προΐστημι^{vppmnmp} καί^{c} ὁ^{dgmp} ἴδιος^{agmpn} οἶκος^{ngmp}. **v.13** ὁ^{dnmp} γάρ^{c} καλῶς^{bo} διακονέω^{vpaanmp} βαθμός^{nams} ἑαυτοῦ^{rxdmp} καλός^{aamsn} περιποιέω^{vipm3p} καί^{c} πολύς^{aafsn} παρρησία^{nafs} ἐν^{p} πίστις^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.14** οὗτος^{rdanp} σύ$^{rpd-s}$ γράφω^{vipa1s} ἐλπίζω^{vppanms} ἔρχομαι^{vnaa} πρός^{p} σύ$^{rpa-s}$ ταχύς^{bo}. **v.15** ἐάν^{qo} δέ^{c} βραδύνω^{vspa1s} ἵνα^{c} οἶδα^{vsxa2s} πῶς^{bo} δεῖ^{vipq3s} ἐν^{p} οἶκος^{ndms} θεός^{ngms} ἀναστρέφω^{vnpp} ὅστις^{rrnfs} εἰμί^{vipx3s} ἐκκλησία^{nnfs} θεός^{ngms} ζάω^{vppagms} στῦλος^{nnms} καί^{c} ἑδραίωμα^{nnns} ὁ^{dgfs} ἀλήθεια^{ngfs}.

ἐκηρύχθη ἐν ἔθνεσιν ἐπιστεύθη ἐν κόσμῳ ἀνελήφθη ἐν δόξῃ.

4 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασιν πλάνοις καὶ διδασκαλίαις δαιμονίων. ἐν ὑποκρίσει ψευδολόγων κεκαυ- 2
τηριασμένων τὴν ἰδίαν συνείδησιν. κωλυόντων γαμεῖν ἀπέ- 3
χεσθαι βρωμάτων ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσιν τὴν ἀλήθειαν. ὅτι πᾶν 4
κτίσμα θεοῦ καλόν καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον, ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως. 5
Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ 6
Χριστοῦ ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας, τοὺς δὲ βεβήλους καὶ γραώ- 7
δεις μύθους παραιτοῦ γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν, ἡ 8
γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς 9
ἄξιος, εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπί- 10
καμεν ἐπὶ θεῷ ζῶντι ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν. Παράγγελλε ταῦτα καὶ δίδασκε. μηδείς σου τῆς νε- 11, 12
ότητος καταφρονείτω ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ ἐν

---

v.16 καί^{c} ὁμολογουμένως^{bo} μέγας^{annsn} εἰμί^{vipx3s} ὁ^{dnns} ὁ^{dgfs} εὐσέβεια^{ngfs} μυστήριον^{nnns} θεός^{nnms} φανερόω^{viap3s} ἐν^{p} σάρξ^{ndfs} δικαιόω^{viap3s} ἐν^{p} πνεῦμα^{ndns} ὁράω^{viap3s} ἄγγελος^{ndmp} κηρύσσω^{viap3s} ἐν^{p} ἔθνος^{ndnp} πιστεύω^{viap3s} ἐν^{p} κόσμος^{ndms} ἀναλαμβάνω^{viap3s} ἐν^{p} δόξα^{ndfs}.
4. v.1 ὁ^{dnns} δέ^{c} πνεῦμα^{nnns} ῥητῶς^{bo} λέγω^{vipa3s} ὅτι^{c} ἐν^{p} ὕστερος^{admpn} καιρός^{ndmp} ἀφίστημι^{vifd3p} τι-σρινμπ ὁ^{dgfs} πίστις^{ngfs} προσέχω^{vppanmp} πνεῦμα^{ndnp} πλάνος^{adnpn} καί^{c} διδασκαλία^{ndfp} δαιμόνιον^{ngnp}. **v.2** ἐν^{p} ὑπόκρισις^{ndfs} ψευδολόγος^{agmpn} καυστηριάζω^{vpxpgmp} ὁ^{dafs} ἴδιος^{aafsn} συνείδησις^{nafs}. **v.3** κωλύω^{vppagmp} γαμέω^{vnpa} ἀπέχω^{vnpm} βρῶμα^{ngnp} ὅς^{rranp} ὁ^{dnms} θεός^{nnms} κτίζω^{viaa3s} εἰς^{p} μετάληψις^{nafs} μετά^{p} εὐχαριστία^{ngfs} ὁ^{ddmp} πιστός^{admpn} καί^{c} ἐπιγινώσκω^{vpxadmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.4** ὅτι^{c} πᾶς^{annsn} κτίσμα^{nnns} θεός^{ngms} καλός^{annsn} καί^{c} οὐδείς^{annsn} ἀπόβλητος^{annsn} μετά^{p} εὐχαριστία^{ngfs} λαμβάνω^{vpppnns}. **v.5** ἁγιάζω^{vipp3s} γάρ^{c} διά^{p} λόγος^{ngms} θεός^{ngms} καί^{c} ἔντευξις^{ngfs}. **v.6** οὗτος^{rdanp} ὑποτίθημι^{vppmnms} ὁ^{ddmp} ἀδελφός^{ndmp} καλός^{anmsn} εἰμί^{vifx2s} διάκονος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ἐντρέφω^{vpppnms} ὁ^{ddmp} λόγος^{ndmp} ὁ^{dgfs} πίστις^{ngfs} καί^{c} ὁ^{dgfs} καλός^{agfsn} διδασκαλία^{ngfs} ὅς^{rrdfs} παρακολουθέω^{vixa2s}. **v.7** ὁ^{damp} δέ^{c} βέβηλος^{aampn} καί^{c} γραώδης^{aampn} μῦθος^{namp} παραιτέομαι^{vdpn2s} γυμνάζω^{vdpa2s} δέ^{c} σεαυτοῦ^{rxams} πρός^{p} εὐσέβεια^{nafs}. **v.8** ὁ^{dnfs} γάρ^{c} σωματικός^{anfsn} γυμνασία^{nnfs} πρός^{p} ὀλίγος^{aamsn} εἰμί^{vipx3s} ὠφέλιμος^{anmsn} ὁ^{dnfs} δέ^{c} εὐσέβεια^{nnfs} πρός^{p} πᾶς^{aanpn} ὠφέλιμος^{anmsn} εἰμί^{vipx3s} ἐπαγγελία^{nafs} ἔχω^{vppanfs} ζωή^{ngfs} ὁ^{dgfs} νῦν^{bo} καί^{c} ὁ^{dgfs} μέλλω^{vppagfs}. **v.9** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} καί^{c} πᾶς^{agfsn} ἀποδοχή^{ngfs} ἄξιος^{anmsn}. **v.10** εἰς^{p} οὗτος^{rdans} γάρ^{c} καί^{c} κοπιάω^{vipa1p} καί^{c} ὀνειδίζω^{vipp1p} ὅτι^{c} ἐλπίζω^{vixa1p} ἐπί^{p} θεός^{ndms} ζάω^{vppadms} ὅς^{rrnms} εἰμί^{vipx3s} σωτήρ^{nnms} πᾶς^{agmpn} ἄνθρωπος^{ngmp} μάλιστα^{bo} πιστός^{agmpn}. **v.11** παραγγέλλω^{vdpa2s} οὗτος^{rdanp} καί^{c} διδάσκω^{vdpa2s}.

13 ἀναστροφῇ ἐν ἀγάπῃ ἐν πνεύματι, ἐν πίστει ἐν ἁγνείᾳ. ἕως
ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει τῇ παρακλήσει τῇ διδασκαλίᾳ.
14 μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος ὃ ἐδόθη σοι διὰ προφητείας
15 μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. ταῦτα μελέτα
16 ἐν τούτοις ἴσθι ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. ἔπεχε
σεαυτῷ καὶ τῇ διδασκαλίᾳ ἐπίμενε αὐτοῖς, τοῦτο γὰρ ποιῶν καὶ
σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

5 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς ἀλλὰ παρακάλει ὡς πατέρα νε-
2 ωτέρους ὡς ἀδελφούς. πρεσβυτέρας ὡς μητέρας νεωτέρας ὡς
3, 4 ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. Χήρας τίμα τὰς ὄντως χήρας. εἰ δέ
τις χήρα τέκνα ἢ ἔκγονα ἔχει μανθανέτωσαν πρῶτον τὸν ἴδιον
οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις, τοῦτο
5 γάρ ἐστιν καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. ἡ δὲ ὄντ-
ως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τόν θεὸν καὶ προσμένει
6 ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. ἡ δὲ
7 σπαταλῶσα ζῶσα τέθνηκεν. καὶ ταῦτα παράγγελλε ἵνα ἀνεπί-
8 λημπτοι ὦσιν. εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ
9 προνοεῖ τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων. Χήρα
καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα ἑνὸς ἀνδρὸς
10 γυνή. ἐν ἔργοις καλοῖς μαρτυρουμένη εἰ ἐτεκνοτρόφησεν εἰ
ἐξενοδόχησεν εἰ ἁγίων πόδας ἔνιψεν εἰ θλιβομένοις ἐπήρκε-

---

v.12 μηδείς^{anmsn} σύ$^{rpg\text{-}s}$ ὁ^{dgfs} νεότης^{ngfs} καταφρονέω^{vdpa3s} ἀλλά^{c} τύπος^{nnms} γίνομαι^{vdpn2s} ὁ^{dgmp} πιστός^{agmpn} ἐν^{p} λόγος^{ndms} ἐν^{p} ἀναστροφή^{ndfs} ἐν^{p} ἀγάπη^{ndfs} ἐν^{p} πνεῦμα^{ndns} ἐν^{p} πίστις^{ndfs} ἐν^{p} ἁγνεία^{ndfs}. **v.13** ἕως^{c} ἔρχομαι^{vipn1s} προσέχω^{vdpa2s} ὁ^{ddfs} ἀνάγνωσις^{ndfs} ὁ^{ddfs} παράκλησις^{ndfs} ὁ^{ddfs} διδασκαλία^{ndfs}. **v.14** μή^{xo} ἀμελέω^{vdpa2s} ὁ^{dgns} ἐν^{p} σύ$^{rpd\text{-}s}$ χάρισμα^{ngns} ὅς^{rrnns} δίδωμι^{viap3s} σύ$^{rpd\text{-}s}$ διά^{p} προφητεία^{ngfs} μετά^{p} ἐπίθεσις^{ngfs} ὁ^{dgfp} χείρ^{ngfp} ὁ^{dgns} πρεσβυτέριον^{ngns}. **v.15** οὗτος^{rdanp} μελετάω^{vdpa2s} ἐν^{p} οὗτος^{rddnp} εἰμί^{vdpx2s} ἵνα^{c} σύ$^{rpg\text{-}s}$ ὁ^{dnfs} προκοπή^{nnfs} φανερός^{anfsn} εἰμί^{vspx3s} ἐν^{p} πᾶς^{admpn}. **v.16** ἐπέχω^{vdpa2s} σεαυτοῦ^{rxdms} καί^{c} ὁ^{ddfs} διδασκαλία^{ndfs} ἐπιμένω^{vdpa2s} αὐτός^{rpdmp} οὗτος^{rdans} γάρ^{c} ποιέω^{vppanms} καί^{c} σεαυτοῦ^{rxams} σῴζω^{vifa2s} καί^{c} ὁ^{damp} ἀκούω^{vppaamp} σύ$^{rpg\text{-}s}$. **5. v.1** πρεσβύτερος^{admsn} μή^{xo} ἐπιπλήσσω^{vsaa2s} ἀλλά^{c} παρακαλέω^{vdpa2s} ὡς^{bo} πατήρ^{nams} νέος^{aampc} ὡς^{bo} ἀδελφός^{namp}. **v.2** πρεσβύτερος^{aafpn} ὡς^{bo} μήτηρ^{nafp} νέος^{aafpc} ὡς^{bo} ἀδελφή^{nafp} ἐν^{p} πᾶς^{adfsn} ἁγνεία^{ndfs}. **v.3** χήρα^{nafp} τιμάω^{vdpa2s} ὁ^{dafp} ὄντως^{bo} χήρα^{nafp}. **v.4** εἰ^{qo} δέ^{c} τι-σρινμσ χήρα^{nnfs} τέκνον^{nanp} ἤ^{xo} ἔκγονος^{aanpn} ἔχω^{vipa3s} μανθάνω^{vdpa3p} πρῶτος^{bo} ὁ^{dams} ἴδιος^{aamsn} οἶκος^{nams} εὐσεβέω^{vnpa} καί^{c} ἀμοιβή^{nafp} ἀποδίδωμι^{vnpa} ὁ^{ddmp} πρόγονος^{ndmp} οὗτος^{rdnns} γάρ^{c} εἰμί^{vipx3s} καλός^{annsn} καί^{c} ἀπόδεκτος^{annsn} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms}. **v.5** ὁ^{dnfs} δέ^{c} ὄντως^{bo} χήρα^{nnfs} καί^{c} μονόω^{vpxpnfs} ἐλπίζω^{vixa3s} ἐπί^{p} ὁ^{dams} θεός^{nams} καί^{c} προσμένω^{vipa3s} ὁ^{ddfp} δέησις^{ndfp} καί^{c} ὁ^{ddfp} προσευχή^{ndfp} νύξ^{ngfs} καί^{c} ἡμέρα^{ngfs}. **v.6** ὁ^{dnfs} δέ^{c} σπαταλάω^{vppanfs} ζάω^{vppanfs} θνῄσκω^{vixa3s}. **v.7** καί^{c} οὗτος^{rdanp} παραγγέλλω^{vdpa2s} ἵνα^{c} ἀνεπίλημπτος^{anmpn} εἰμί^{vspx3p}. **v.8** εἰ^{qo} δέ^{c} τι-σρινμσ ὁ^{dgmp} ἴδιος^{agmpn} καί^{c} μάλιστα^{bo} ὁ^{dgmp} οἰκεῖος^{agmpn} οὐ^{xo} προνοέω^{vipa3s} ὁ^{dafs} πίστις^{nafs} ἀρνέομαι^{vixd3s} καί^{c} εἰμί^{vipx3s} ἄπιστος^{agmsn} χείρων^{anmsc}. **v.9** χήρα^{nnfs} καταλέγω^{vdpp3s} μή^{xo} ἐλάσσων^{annsn} ἔτος^{ngnp} ἑξήκοντα^{tn} γίνομαι^{vpxanfs} εἷς^{ngms} ἀνήρ^{ngms} γυνή^{nnfs}.

σεν εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. νεωτέρας δὲ χήρας 11
παραιτοῦ, ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ γαμεῖν θέ-
λουσιν. ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν, ἅμα 12, 13
δὲ καὶ ἀργαὶ μανθάνουσιν περιερχόμεναι τὰς οἰκίας οὐ μό-
νον δὲ ἀργαὶ ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι λαλοῦσαι τὰ μὴ
δέοντα. βούλομαι οὖν νεωτέρας γαμεῖν τεκνογονεῖν οἰκοδε- 14
σποτεῖν μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας
χάριν, ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. εἴ τις 15, 16
πιστὸς ἡ πιστὴ ἔχει χήρας ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρεί-
σθω ἡ ἐκκλησία ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. Οἱ καλῶς 17
προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν μάλιστα οἱ
κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. λέγει γὰρ ἡ γραφή Βοῦν 18
ἀλοῶντα οὐ φιμώσεις καί Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.
κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου ἐκτὸς εἰ μὴ ἐπὶ 19
δύο ἢ τριῶν μαρτύρων. τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔ- 20
λεγχε ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. Διαμαρτύρομαι ἐνώπιον 21
τοῦ θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέ-
λων ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ
πρόσκλισιν. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει μηδὲ κοινώνει ἁ- 22
μαρτίαις ἀλλοτρίαις, σεαυτὸν ἁγνὸν τήρει. Μηκέτι ὑδροπότει 23

---

v.10 ἐνᵖ ἔργονⁿᵈⁿᵖ καλόςᵃᵈⁿᵖⁿ μαρτυρέωᵛᵖᵖᵖⁿᶠˢ εἰˢᵍᵒ τεκνοτροφέωᵛⁱᵃᵃ³ˢ εἰˢᵍᵒ ξενοδοχέωᵛⁱᵃᵃ³ˢ εἰˢᵍᵒ ἅγιοςᵃᵍᵐᵖⁿ πούςⁿᵃᵐᵖ νίπτωᵛⁱᵃᵃ³ˢ εἰˢᵍᵒ θλίβωᵛᵖᵖᵈᵐᵖ ἐπαρκέωᵛⁱᵃᵃ³ˢ εἰˢᵍᵒ πᾶςᵃᵈⁿˢⁿ ἔργονⁿᵈⁿˢ ἀγαθόςᵃᵈⁿˢⁿ ἐπακολουθέωᵛⁱᵃᵃ³ˢ. **v.11** νέοςᵃᵃᶠᵖᶜ δέᶜ χήραⁿᵃᶠᵖ παραιτέομαιᵛᵈᵖⁿ²ˢ ὅταν᷈ᶜ γάρᶜ καταστρηνιάωᵛˢᵃᵃ³ᵖ ὁᵈᵍᵐˢ Χριστόςⁿᵍᵐˢ γαμέωᵛⁿᵖᵃ θέλωᵛⁱᵖᵃ³ᵖ. **v.12** ἔχωᵛᵖᵖᵃⁿᶠᵖ κρίμαⁿᵃⁿˢ ὅτιᶜ ὁᵈᵃᶠˢ πρῶτοςᵃᵃᶠˢⁿ πίστιςⁿᵃᶠˢ ἀθετέωᵛⁱᵃᵃ³ᵖ. **v.13** ἅμαᵇᵒ δέᶜ καίᶜ ἀργόςᵃⁿᶠᵖⁿ μανθάνωᵛⁱᵖᵃ³ᵖ περιέρχομαιᵛᵖᵖⁿⁿᶠᵖ ὁᵈᵃᶠᵖ οἰκίαⁿᵃᶠᵖ οὐˣᵒ μόνοςᵇᵒ δέᶜ ἀργόςᵃⁿᶠᵖⁿ ἀλλάᶜ καίᶜ φλύαροςᵃⁿᶠᵖⁿ καίᶜ περίεργοςᵃⁿᵐᵖⁿ λαλέωᵛᵖᵖᵃⁿᶠᵖ ὁᵈᵃⁿᵖ μήˣᵒ δεῖᵛᵖᵖᵠᵃⁿᵖ. **v.14** βούλομαιᵛⁱᵖⁿ¹ˢ οὖνᶜ νέοςᵃᵃᶠᵖᶜ γαμέωᵛⁿᵖᵃ τεκνογονέωᵛⁿᵖᵃ οἰκοδεσποτέωᵛⁿᵖᵃ μηδείςᵃᵃᶠˢⁿ ἀφορμήⁿᵃᶠˢ δίδωμιᵛⁿᵖᵃ ὁᵈᵈᵐˢ ἀντίκειμαιᵛᵖᵖⁿᵈᵐˢ λοιδορίαⁿᵍᶠˢ χάριν᷈ᵇᵒ. **v.15** ἤδηᵇᵒ γάρᶜ τι-σρινμπ ἐκτρέπωᵛⁱᵃᵖ³ᵖ ὀπίσωᵇᵒ ὁᵈᵍᵐˢ Σατανᾶςⁿᵍᵐˢ. **v.16** εἰˢᵍᵒ τι-σρινμσ πιστόςᵃⁿᵐˢⁿ ὁˣᵒ πιστόςᵃⁿᶠˢⁿ ἔχωᵛⁱᵖᵃ³ˢ χήραⁿᵃᶠᵖ ἐπαρκέωᵛᵈᵖᵃ³ˢ αὐτόςʳᵖᵈᶠᵖ καίᶜ μήˣᵒ βαρέωᵛᵈᵖᵖ³ˢ ὁᵈⁿᶠˢ ἐκκλησίαⁿⁿᶠˢ ἵναᶜ ὁᵈᵈᶠᵖ ὄντωςᵇᵒ χήραⁿᵈᶠᵖ ἐπαρκέωᵛˢᵃᵃ³ˢ. **v.17** ὁᵈⁿᵐᵖ καλῶςᵇᵒ προΐστημιᵛᵖˣᵃⁿᵐᵖ πρεσβύτεροςᵃⁿᵐᵖⁿ διπλοῦςᵃᵍᶠˢⁿ τιμήⁿᵍᶠˢ ἀξιόωᵛᵈᵖᵖ³ᵖ μάλισταᵇᵒ ὁᵈⁿᵐᵖ κοπιάωᵛᵖᵖᵃⁿᵐᵖ ἐνᵖ λόγοςⁿᵈᵐˢ καίᶜ διδασκαλίαⁿᵈᶠˢ. **v.18** λέγωᵛⁱᵖᵃ³ˢ γάρᶜ ὁᵈⁿᶠˢ γραφήⁿⁿᶠˢ βοῦςⁿᵃᵐˢ ἀλοάωᵛᵖᵖᵃᵃᵐˢ οὐˣᵒ φιμόωᵛⁱᶠᵃ²ˢ καίᶜ ἄξιοςᵃⁿᵐˢⁿ ὁᵈⁿᵐˢ ἐργάτηςⁿⁿᵐˢ ὁᵈᵍᵐˢ μισθόςⁿᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ. **v.19** κατάᵖ πρεσβύτεροςᵃᵍᵐˢⁿ κατηγορίαⁿᵃᶠˢ μήˣᵒ παραδέχομαιᵛᵈᵖⁿ²ˢ ἐκτόςᵇᵒ εἰˢᵍᵒ μήˣᵒ ἐπίᵖ δύοᵗⁿ ἢˣᵒ τρεῖςⁿᵍᵐᵖ μάρτυςⁿᵍᵐᵖ. **v.20** ὁᵈᵃᵐᵖ ἁμαρτάνωᵛᵖᵖᵃᵃᵐᵖ ἐνώπιονᵇᵒ πᾶςᵃᵍᵐᵖⁿ ἐλέγχωᵛᵈᵖᵃ²ˢ ἵναᶜ καίᶜ ὁᵈⁿᵐᵖ λοιπόςᵃⁿᵐᵖⁿ φόβοςⁿᵃᵐˢ ἔχωᵛˢᵖᵃ³ᵖ. **v.21** διαμαρτύρομαιᵛⁱᵖⁿ¹ˢ ἐνώπιονᵇᵒ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ καίᶜ κύριοςⁿᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ Χριστόςⁿᵍᵐˢ καίᶜ ὁᵈᵍᵐᵖ ἐκλεκτόςᵃᵍᵐᵖⁿ ἄγγελοςⁿᵍᵐᵖ ἵναᶜ οὗτοςʳᵈᵃⁿᵖ φυλάσσωᵛˢᵃᵃ²ˢ χωρίςᵇᵒ πρόκριμαⁿᵍⁿˢ μηδείςᵃᵃⁿˢⁿ ποιέωᵛᵖᵖᵃⁿᵐˢ κατάᵖ πρόσκλισιςⁿᵃᶠˢ. **v.22** χείρⁿᵃᶠᵖ ταχέωςᵇᵒ μηδείςᵃᵈᵐˢⁿ ἐπιτίθημιᵛᵈᵖᵃ²ˢ μηδὲᶜ κοινωνέωᵛᵈᵖᵃ²ˢ ἁμαρτίαⁿᵈᶠᵖ ἀλλότριοςᵃᵈᶠᵖⁿ σεαυτοῦʳˣᵃᵐˢ ἁγνόςᵃᵃᵐˢⁿ τηρέωᵛᵈᵖᵃ²ˢ.

ἀλ᾽λ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχον σου καὶ τὰς πυκνάς σοῦ
24 ἀσθενείας. Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν προ-
25 άγουσαι εἰς κρίσιν τισὶν δὲ καὶ ἐπακολουθοῦσιν, ὡσαύτως καὶ
τὰ καλὰ ἔργα πρόδηλα ἐστίν καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ
δύναται.

6 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πάσης
τιμῆς ἀξίους ἡγείσθωσαν ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ δι-
2 δασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ
καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν ἀλλὰ μᾶλλον δουλευέτωσαν
ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανό-
3 μενοι Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ
καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις τοῖς τοῦ κυρίου ἡμῶν
4 Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ εὐσέβειαν διδασκαλίᾳ. τετύφωται
μηδὲν ἐπιστάμενος ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας
5 ἐξ ὧν γίνεται φθόνος ἔρις βλασφημίαι ὑπόνοιαι πονηραί. πα-
ραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερη-
μένων τῆς ἀληθείας νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν
6 ἀφίστασο ἀπὸ τῶν τοιούτων. ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐσέ-
7 βεια μετὰ αὐταρκείας, οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον
8 δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, ἔχοντες δὲ διατροφὰς
9 καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βουλόμενοι

---

v.23 μηκέτι^{bo} ὑδροποτέω^{vdpa2s} ἀλλά^{c} οἴνος^{ndms} ὀλίγος^{admsn} χράομαι^{vdpn2s} διά^{p} ὁ^{dams} στόμαχος^{nams} σύ$^{rpg\text{-}s}$ καί^{c} ὁ^{dafp} πυκνός^{aafpn} σύ$^{rpg\text{-}s}$ ἀσθένεια^{nafp}. **v.24** τι-σριγμπ ἄνθρωπος^{ngmp} ὁ^{dnfp} ἁμαρτία^{nnfp} πρόδηλος^{anfpn} εἰμί^{vipx3p} προάγω^{vppanfp} εἰς^{p} κρίσις^{nafs} τι-σριδμπ δέ^{c} καί^{c} ἐπακολουθέω^{vipa3p}. **v.25** ὡσαύτως^{bo} καί^{c} ὁ^{dnnp} καλός^{annpn} ἔργον^{nnnp} πρόδηλος^{annpn} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnnp} ἄλλως^{bo} ἔχω^{vppannp} κρύπτω^{vnap} οὐ^{xo} δύναμαι^{vipn3s}. **6. v.1** ὅσος^{rcnmp} εἰμί^{vipx3p} ὑπό^{p} ζυγός^{nams} δοῦλος^{nnmp} ὁ^{damp} ἴδιος^{aampn} δεσπότης^{namp} πᾶς^{agfsn} τιμή^{ngfs} ἄξιος^{aampn} ἡγέομαι^{vdpn3p} ἵνα^{c} μή^{xo} ὁ^{dnns} ὄνομα^{nnns} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dnfs} διδασκαλία^{nnfs} βλασφημέω^{vspp3s}. **v.2** ὁ^{dnmp} δέ^{c} πιστός^{aampn} ἔχω^{vppanmp} δεσπότης^{namp} μή^{xo} καταφρονέω^{vdpa3p} ὅτι^{c} ἀδελφός^{nnmp} εἰμί^{vipx3p} ἀλλά^{c} μᾶλλον^{bo} δουλεύω^{vdpa3p} ὅτι^{c} πιστός^{anfpn} εἰμί^{vipx3p} καί^{c} ἀγαπητός^{anmpn} ὁ^{dnmp} ὁ^{dgfs} εὐεργεσία^{ngfs} ἀντιλαμβάνομαι^{vppnnmp} οὗτος^{rdanp} διδάσκω^{vdpa2s} καί^{c} παρακαλέω^{vdpa2s}. **v.3** εἰ^{qo} τι-σρινμσ ἑτεροδιδασκαλέω^{vipa3s} καί^{c} μή^{xo} προσέρχομαι^{vipn3s} ὑγιαίνω^{vppadmp} λόγος^{ndmp} ὁ^{ddmp} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg\text{-}p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} καί^{c} ὁ^{ddfs} κατά^{p} εὐσέβεια^{nafs} διδασκαλία^{ndfs}. **v.4** τυφόω^{vixp3s} μηδείς^{aansn} ἐπίσταμαι^{vppnnms} ἀλλά^{c} νοσέω^{vppanms} περί^{p} ζήτησις^{nafp} καί^{c} λογομαχία^{nafp} ἐκ^{p} ὅς^{rrgfp} γίνομαι^{vipn3s} φθόνος^{nnms} ἔρις^{nnfs} βλασφημία^{nnfp} ὑπόνοια^{nnfp} πονηρός^{anfpn}. **v.5** διαπαρατριβή^{nnfp} διαφθείρω^{vpxpgmp} ἄνθρωπος^{ngmp} ὁ^{dams} νοῦς^{nams} καί^{c} ἀποστερέω^{vpxpgmp} ὁ^{dgfs} ἀλήθεια^{ngfs} νομίζω^{vppagmp} πορισμός^{nams} εἰμί^{vnpx} ὁ^{dafs} εὐσέβεια^{nafs} ἀφίστημι^{vdpn2s} ἀπό^{p} ὁ^{dgmp} τοιοῦτος^{rdgmp}. **v.6** εἰμί^{vipx3s} δέ^{c} πορισμός^{nnms} μέγας^{anmsn} ὁ^{dnfs} εὐσέβεια^{nnfs} μετά^{p} αὐτάρκεια^{ngfs}. **v.7** οὐδείς^{aansn} γάρ^{c} εἰσφέρω^{viaa1p} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} δῆλος^{annsn} ὅτι^{c} οὐδέ^{bo} ἐκφέρω^{vnaa} τι-σριανσ δύναμαι^{vipn1p}. **v.8** ἔχω^{vppanmp} δέ^{c} διατροφή^{nafp} καί^{c} σκέπασμα^{nanp} οὗτος^{rddnp} ἀρκέω^{vifp1p}.

πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας
πολλὰς ἀνοήτους καὶ βλαβερὰς αἵτινες βυθίζουσιν τοὺς ἀνθρώ-
πους εἰς ὄλεθρον καὶ ἀπώλειαν. ῥίζα γὰρ πάντων τῶν κακῶν 10
ἐστιν ἡ φιλαργυρία ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ
τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Σὺ 11
δέ ὦ ἄνθρωπε τοῦ θεοῦ ταῦτα φεῦγε, δίωκε δὲ δικαιοσύνην
εὐσέβειαν πίστιν ἀγάπην ὑπομονήν πρᾳότητα. ἀγωνίζου τὸν 12
καλὸν ἀγῶνα τῆς πίστεως ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν
καὶ ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον
πολλῶν μαρτύρων. παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ 13
ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος
ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν. τηρῆσαί σε τὴν ἐν- 14
τολὴν ἄσπιλον ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ. ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ 15
μόνος δυνάστης ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν
κυριευόντων. ὁ μόνος ἔχων ἀθανασίαν φῶς οἰκῶν ἀπρόσιτον 16
ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κρά-
τος αἰώνιον ἀμήν. Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε 17
μὴ ὑψηλοφρονεῖν μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι ἀλλ
ἐν τῷ θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπό-
λαυσιν. ἀγαθοεργεῖν πλουτεῖν ἐν ἔργοις καλοῖς εὐμεταδότους 18

---

v.9 ὁ^{dnmp} δέ^{c} βούλομαι^{vppnnmp} πλουτέω^{vnpa} ἐμπίπτω^{vipa3p} εἰς^{p} πειρασμός^{nams} καί^{c} παγίς^{nafs} καί^{c} ἐπιθυμία^{nafp} πολύς^{aafpn} ἀνόητος^{aafpn} καί^{c} βλαβερός^{aafpn} ὅστις^{rrnfp} βυθίζω^{vipa3p} ὁ^{damp} ἄνθρωπος^{namp} εἰς^{p} ὄλεθρος^{nams} καί^{c} ἀπώλεια^{nafs}. **v.10** ῥίζα^{nnfs} γάρ^{c} πᾶς^{agnpn} ὁ^{dgnp} κακός^{agnpn} εἰμί^{vipx3s} ὁ^{dnfs} φιλαργυρία^{nnfs} ὅς^{rrgfs} τι-σρινμπ ὀρέγω^{vppmnmp} ἀποπλανάω^{viap3p} ἀπό^{p} ὁ^{dgfs} πίστις^{ngfs} καί^{c} ἑαυτοῦ^{rxamp} περιπείρω^{viaa3p} ὀδύνη^{ndfp} πολύς^{adfpn}. **v.11** σύ$^{rpn-s}$ δέ^{c} ὦ^{i} ἄνθρωπος^{nvms} ὁ^{dgms} θεός^{ngms} οὗτος^{rdanp} φεύγω^{vdpa2s} διώκω^{vdpa2s} δέ^{c} δικαιοσύνη^{nafs} εὐσέβεια^{nafs} πίστις^{nafs} ἀγάπη^{nafs} ὑπομονή^{nafs} πραῦτης^{nafs}. **v.12** ἀγωνίζομαι^{vdpn2s} ὁ^{dams} καλός^{aamsn} ἀγών^{nams} ὁ^{dgfs} πίστις^{ngfs} ἐπιλαμβάνομαι^{vdad2s} ὁ^{dgfs} αἰώνιος^{agfsn} ζωή^{ngfs} εἰς^{p} ὅς^{rrafs} καί^{c} καλέω^{viap2s} καί^{c} ὁμολογέω^{viaa2s} ὁ^{dafs} καλός^{aafsn} ὁμολογία^{nafs} ἐνώπιον^{bo} πολύς^{agmpn} μάρτυς^{ngmp}. **v.13** παραγγέλλω^{vipa1s} σύ$^{rpd-s}$ ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ζῳοποιέω^{vppagms} ὁ^{danp} πᾶς^{aanpn} καί^{c} Χριστός^{ngms} Ἰησοῦς^{ngms} ὁ^{dgms} μαρτυρέω^{vpaagms} ἐπί^{p} Πόντιος^{ngms} Πιλᾶτος^{ngms} ὁ^{dafs} καλός^{aafsn} ὁμολογία^{nafs}. **v.14** τηρέω^{vnaa} σύ$^{rpa-s}$ ὁ^{dafs} ἐντολή^{nafs} ἄσπιλος^{aafsn} ἀνεπίλημπτος^{aafsn} μέχρι^{bo} ὁ^{dgfs} ἐπιφάνεια^{ngfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.15** ὅς^{rrafs} καιρός^{ndmp} ἴδιος^{admpn} δείκνυμι^{vifa3s} ὁ^{dnms} μακάριος^{anmsn} καί^{c} μόνος^{anmsn} δυνάστης^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} βασιλεύω^{vppagmp} καί^{c} κύριος^{nnms} ὁ^{dgmp} κυριεύω^{vppagmp}. **v.16** ὁ^{dnms} μόνος^{anmsn} ἔχω^{vppanms} ἀθανασία^{nafs} φῶς^{nans} οἰκέω^{vppanms} ἀπρόσιτος^{aansn} ὅς^{rrams} ὁράω^{viaa3s} οὐδείς^{anfsn} ἄνθρωπος^{ngmp} οὐδέ^{bo} ὁράω^{vnaa} δύναμαι^{vipn3s} ὅς^{rrdms} τιμή^{nnfs} καί^{c} κράτος^{nnns} αἰώνιος^{annsn} ἀμήνth. **v.17** ὁ^{ddmp} πλούσιος^{admpn} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} αἰών^{ndms} παραγγέλλω^{vdpa2s} μή^{xo} ὑψηλοφρονέω^{vnpa} μηδέ^{c} ἐλπίζω^{vnxa} ἐπί^{p} πλοῦτος^{ngms} ἀδηλότης^{ndfs} ἀλλά^{c} ἐν^{p} ὁ^{ddms} θεός^{ndms} ὁ^{ddms} ζάω^{vppadms} ὁ^{ddms} παρέχω^{vppadms} ἐγώ$^{rpd-p}$ πλουσίως^{bo} πᾶς^{aanpn} εἰς^{p} ἀπόλαυσις^{nafs}.

19 εἶναι κοινωνικούς. ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν
20 εἰς τὸ μέλλον ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. ῏Ω Τιμόθεε
τὴν παρακαταθήκην φύλαξον ἐκτρεπόμενος τὰς βεβήλους κε-
21 νοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως. ἥν τινες
ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν ῾Η χάρις μετὰ σοῦ.
ἀμήν [πρός Τιμόθεον πρώτη ἐγράφη ἀπό Λαοδικείας ἥτις ἐστίν
μητρόπολις φρυγίας τῆς Πακατιανῆσ]

v.18 ἀγαθοεργέω^{vnpa} πλουτέω^{vnpa} ἐν^{p} ἔργον^{ndnp} καλός^{adnpn} εὐμετάδοτος^{aampn} εἰμί^{vnpx} κοινωνικός^{aampn}. **v.19** ἀποθησαυρίζω^{vppaamp} ἑαυτοῦ^{rxdmp} θεμέλιος^{nams} καλός^{aamsn} εἰς^{p} ὁ^{dans} μέλλω^{vppaans} ἵνα^{c} ἐπιλαμβάνομαι^{vsad3p} ὁ^{dgfs} αἰώνιος^{agfsn} ζωή^{ngfs}. **v.20** ὦ^{i} Τιμόθεος^{nvms} ὁ^{dafs} παρακαταθήκη^{nafs} φυλάσσω^{vdaa2s} ἐκτρέπω^{vppmnms} ὁ^{dafp} βέβηλος^{aafpn} κενοφωνία^{nafp} καί^{c} ἀντίθεσις^{nafp} ὁ^{dgfs} ψευδώνυμος^{agfsn} γνῶσις^{ngfs}. **v.21** ὅς^{rrafs} τι-σρινμπ ἐπαγγέλλομαι^{vppnnmp} περί^{p} ὁ^{dafs} πίστις^{nafs} ἀστοχέω^{viaa3p} ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} σύ$^{rpg-s}$ ἀμήνth πρός^{p} Τιμόθεος^{nams} πρῶτος^{anfsn} γράφω^{viap3s} ἀπό^{p} Λαοδίκεια^{ngfs} ὅστις^{rrnfs} εἰμί^{vipx3s} μητρόπολις^{nnfs} Φρυγία^{ngfs} ὁ^{dgfs} Πακατιανός^{agfsn}.

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ κατ **1**
ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. Τιμοθέῳ ἀγαπητῷ τέ- 2
κνῳ χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ
τοῦ κυρίου ἡμῶν. Χάριν ἔχω τῷ θεῷ ᾧ λατρεύω ἀπὸ προγό- 3
νων ἐν καθαρᾷ συνειδήσει ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ
μνείαν ἐν ταῖς δεήσεσίν μου νυκτὸς καὶ ἡμέρας. ἐπιποθῶν σε 4
ἰδεῖν μεμνημένος σου τῶν δακρύων ἵνα χαρᾶς πληρωθῶ. ὑπό- 5
μνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως ἥτις ἐνῴκη-
σεν πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνείκῃ
πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. δι᾽ ἣν αἰτίαν ἀναμιμνῄσκω σε 6
ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπι-
θέσεως τῶν χειρῶν μου. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα 7
δειλίας ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. μὴ 8
οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν
δέσμιον αὐτοῦ ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύ-
ναμιν θεοῦ. τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ 9
οὐ κατὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κατ᾽ ἰδίαν πρόθεσιν καὶ χάριν τὴν

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} κατά^{p} ἐπαγγελία^{nafs} ζωή^{ngfs} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.2** Τιμόθεος^{ndms} ἀγαπητός^{admsn} τέκνον^{ndns} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} Χριστός^{ngms} Ἰησοῦς^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$. **v.3** χάρις^{nafs} ἔχω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ὅς^{rrdms} λατρεύω^{vipa1s} ἀπό^{p} πρόγονος^{ngmp} ἐν^{p} καθαρός^{adfsn} συνείδησις^{ndfs} ὡς^{bo} ἀδιάλειπτος^{aafsn} ἔχω^{vipa1s} ὁ^{dafs} περί^{p} σύ$^{rpg-s}$ μνεία^{nafs} ἐν^{p} ὁ^{ddfp} δέησις^{ndfp} ἐγώ$^{rpg-s}$ νύξ^{ngfs} καί^{c} ἡμέρα^{ngfs}. **v.4** ἐπιποθέω^{vppanms} σύ$^{rpa-s}$ ὁράω^{vnaa} μιμνῄσκομαι^{vpxpnms} σύ$^{rpg-s}$ ὁ^{dgnp} δάκρυον^{ngnp} ἵνα^{c} χαρά^{ngfs} πληρόω^{vsap1s}. **v.5** ὑπόμνησις^{nafs} λαμβάνω^{vppanms} ὁ^{dgfs} ἐν^{p} σύ$^{rpd-s}$ ἀνυπόκριτος^{agfsn} πίστις^{ngfs} ὅστις^{rrnfs} ἐνοικέω^{viaa3s} πρῶτος^{bo} ἐν^{p} ὁ^{ddfs} μάμμη^{ndfs} σύ$^{rpg-s}$ Λωΐς^{ndms} καί^{c} ὁ^{ddfs} μήτηρ^{ndfs} σύ$^{rpg-s}$ Εὐνίκη^{ndfs} πείθω^{vixp1s} δέ^{c} ὅτι^{c} καί^{c} ἐν^{p} σύ$^{rpd-s}$. **v.6** διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἀναμιμνῄσκω^{vipa1s} σύ$^{rpa-s}$ ἀναζωπυρέω^{vnpa} ὁ^{dans} χάρισμα^{nans} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrnns} εἰμί^{vipx3s} ἐν^{p} σύ$^{rpd-s}$ διά^{p} ὁ^{dgfs} ἐπίθεσις^{ngfs} ὁ^{dgfp} χείρ^{ngfp} ἐγώ$^{rpg-s}$. **v.7** οὐ^{xo} γάρ^{c} δίδωμι^{viaa3s} ἐγώ$^{rpd-p}$ ὁ^{dnms} θεός^{nnms} πνεῦμα^{nans} δειλία^{ngfs} ἀλλά^{c} δύναμις^{ngfs} καί^{c} ἀγάπη^{ngfs} καί^{c} σωφρονισμός^{ngms}. **v.8** μή^{xo} οὖν^{c} ἐπαισχύνομαι^{vsao2s} ὁ^{dans} μαρτύριον^{nans} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ μηδέ^{c} ἐγώ$^{rpa-s}$ ὁ^{dams} δέσμιος^{nams} αὐτός^{rpgms} ἀλλά^{c} συγκακοπαθέω^{vdaa2s} ὁ^{ddns} εὐαγγέλιον^{ndns} κατά^{p} δύναμις^{nafs} θεός^{ngms}. **v.9** ὁ^{dgms} σῴζω^{vpaagms} ἐγώ$^{rpa-p}$ καί^{c} καλέω^{vpaagms} κλῆσις^{ndfs} ἅγιος^{adfsn} οὐ^{xo} κατά^{p} ὁ^{danp} ἔργον^{nanp} ἐγώ$^{rpg-p}$ ἀλλά^{c} κατά^{p} ἴδιος^{aafsn} πρόθεσις^{nafs} καί^{c} χάρις^{nafs} ὁ^{dafs} δίδωμι^{vpapafs} ἐγώ$^{rpd-p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}.

10 δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων. φανε-
ρωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ καταργήσαντος μὲν τὸν θάνατον φωτίσαντος δὲ ζωὴν
11 καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. εἰς ὃ ἐτέθην ἐγὼ κῆ-
12 ρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. δι᾽ ἣν αἰτίαν καὶ
ταῦτα πάσχω, ἀλλ οὐκ ἐπαισχύνομαι οἶδα γὰρ ᾧ πεπίστευκα
καὶ πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν παραθήκην μου φυλάξαι
13 εἰς ἐκείνην τὴν ἡμέραν. ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων
ὧν παρ ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ,
14 τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ
15 ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας τοῦτο ὅτι ἀπεστράφησάν με πάν-
16 τες οἱ ἐν τῇ Ἀσίᾳ ὧν ἐστιν Φύγελλος καὶ Ἑρμογένης. δῴη
ἔλεος ὁ κύριος τῷ Ὀνησιφόρου οἴκῳ ὅτι πολλάκις με ἀνέψυξεν
17 καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ
18 σπουδαιότερον ἐζήτησέν με καὶ εὗρεν, δῴη αὐτῷ ὁ κύριος εὑ-
ρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ὅσα ἐν Ἐφέσῳ
διηκόνησεν βέλτιον σὺ γινώσκεις.

2 Σὺ οὖν τέκνον μου ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰ-
2 ησοῦ. καὶ ἃ ἤκουσας παρ ἐμοῦ διὰ πολλῶν μαρτύρων ταῦτα
παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους
3 διδάξαι. σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης Ἰησοῦ

---

v.10 φανερόω^{vpapafs} δέ^{c} νῦν^{bo} διά^{p} ὁ^{dgfs} ἐπιφάνεια^{ngfs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} καταργέω^{vpaagms} μέν^{xo} ὁ^{dams} θάνατος^{nams} φωτίζω^{vpaagms} δέ^{c} ζωή^{nafs} καί^{c} ἀφθαρσία^{nafs} διά^{p} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.11** εἰς^{p} ὅς^{rrans} τίθημι^{viap1s} ἐγώ$^{rpn-s}$ κῆρυξ^{nnms} καί^{c} ἀπόστολος^{nnms} καί^{c} διδάσκαλος^{nnms} ἔθνος^{ngnp}. **v.12** διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} καί^{c} οὗτος^{rdanp} πάσχω^{vipa1s} ἀλλά^{c} οὐ^{xo} ἐπαισχύνομαι^{vipn1s} οἶδα^{vixa1s} γάρ^{c} ὅς^{rrdms} πιστεύω^{vixa1s} καί^{c} πείθω^{vixp1s} ὅτι^{c} δυνατός^{anmsn} εἰμί^{vipx3s} ὁ^{dafs} παραθήκη^{nafs} ἐγώ$^{rpg-s}$ φυλάσσω^{vnaa} εἰς^{p} ἐκεῖνος^{rdafs} ὁ^{dafs} ἡμέρα^{nafs}. **v.13** ὑποτύπωσις^{nafs} ἔχω^{vdpa2s} ὑγιαίνω^{vppagmp} λόγος^{ngmp} ὅς^{rrgmp} παρά^{p} ἐγώ$^{rpg-s}$ ἀκούω^{viaa2s} ἐν^{p} πίστις^{ndfs} καί^{c} ἀγάπη^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.14** ὁ^{dafs} καλός^{aafsn} παρακαταθήκη^{nafs} φυλάσσω^{vdaa2s} διά^{p} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ὁ^{dgns} ἐνοικέω^{vppagns} ἐν^{p} ἐγώ$^{rpd-p}$. **v.15** οἶδα^{vixa2s} οὗτος^{rdans} ὅτι^{c} ἀποστρέφω^{viap3p} ἐγώ$^{rpa-s}$ πᾶς^{anmpn} ὁ^{dnmp} ἐν^{p} ὁ^{ddfs} Ἀσία^{ndfs} ὅς^{rrgmp} εἰμί^{vipx3s} Φύγελος^{nnms} καί^{c} Ἑρμογένης^{nnms}. **v.16** δίδωμι^{voaa3s} ἔλεος^{nans} ὁ^{dnms} κύριος^{nnms} ὁ^{ddms} Ὀνησίφορος^{ngms} οἶκος^{ndms} ὅτι^{c} πολλάκις^{bo} ἐγώ$^{rpa-s}$ ἀναψύχω^{viaa3s} καί^{c} ὁ^{dafs} ἅλυσις^{nafs} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἐπαισχύνομαι^{viap3s}. **v.17** ἀλλά^{c} γίνομαι^{vpadnms} ἐν^{p} Ῥώμη^{ndfs} σπουδαῖος^{aamsc} ζητέω^{viaa3s} ἐγώ$^{rpa-s}$ καί^{c} εὑρίσκω^{viaa3s}. **v.18** δίδωμι^{voaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} εὑρίσκω^{vnaa} ἔλεος^{nans} παρά^{p} κύριος^{ngms} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} καί^{c} ὅσος^{rcanp} ἐν^{p} Ἔφεσος^{ndfs} διακονέω^{viaa3s} βελτίων^{nans} σύ$^{rpn-s}$ γινώσκω^{vipa2s}. **2. v.1** σύ$^{rpn-s}$ οὖν^{c} τέκνον^{nvns} ἐγώ$^{rpg-s}$ ἐνδυναμόω^{vdpp2s} ἐν^{p} ὁ^{ddfs} χάρις^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.2** καί^{c} ὅς^{rranp} ἀκούω^{viaa2s} παρά^{p} ἐγώ$^{rpg-s}$ διά^{p} πολύς^{agmpn} μάρτυς^{ngmp} οὗτος^{rdanp} παρατίθημι^{viam2s} πιστός^{admpn} ἄνθρωπος^{ndmp} ὅστις^{rrnmp} ἱκανός^{anmpn} εἰμί^{vifx3p} καί^{c} ἕτερος^{aampn} διδάσκω^{vnaa}.

Χριστοῦ. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πρα- 4
γματείαις ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις 5
οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γε- 6
ωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. νόει α λέγω, 7
δῴη γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν. Μνημόνευε Ἰησοῦν 8
Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ
εὐαγγέλιόν μου. ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦρ- 9
γος ἀλ᾽λ ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται, διὰ τοῦτο πάντα ὑπο- 10
μένω διὰ τοὺς ἐκλεκτούς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς
ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. πιστὸς ὁ λόγος, εἰ γὰρ 11
συναπεθάνομεν καὶ συζήσομεν, εἰ ὑπομένομεν καὶ συμβασι- 12
λεύσομεν, εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς, εἰ ἀπι- 13
στοῦμεν ἐκεῖνος πιστὸς μένει ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.
Ταῦτα ὑπομίμνῃσκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίοῦ μὴ 14
λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόν-
των. σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ θεῷ ἐργάτην 15
ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. τὰς δὲ 16
βεβήλους κενοφωνίας περιΐστασο, ἐπὶ πλεῖον γὰρ προκόψου-
σιν ἀσεβείας. καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει 17
ὧν ἐστιν Ὑμέναιος καὶ Φίλητος. οἵτινες περὶ τὴν ἀλήθειαν 18
ἠστόχησαν λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι καὶ ἀνατρέ-

---

v.3 σύ$^{rpn\text{-}s}$ οὖν^{c} κακοπαθέω^{vdaa2s} ὡς^{bo} καλὸς^{anmsn} στρατιώτης^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.4** οὐδείς^{anfsn} στρατεύω^{vppmnms} ἐμπλέκω^{vipp3s} ὁ^{ddfp} ὁ^{dgms} βίος^{ngms} πραγματεία^{ndfp} ἵνα^{c} ὁ^{ddms} στρατολογέω^{vpaadms} ἀρέσκω^{vsaa3s}. **v.5** ἐάν^{qo} δέ^{c} καί^{c} ἀθλέω^{vspa3s} τι-σρινμσ οὐ^{xo} στεφανόω^{vipp3s} ἐάν^{qo} μή^{xo} νομίμως^{bo} ἀθλέω^{vsaa3s}. **v.6** ὁ^{dams} κοπιάω^{vppaams} γεωργός^{nams} δεῖ^{vipq3s} πρῶτος^{bo} ὁ^{dgmp} κάρπος^{ngmp} μεταλαμβάνω^{vnpa}. **v.7** νοέω^{vdpa2s} ὅς^{rranp} λέγω^{vipa1s} δίδωμι^{voaa3s} γάρ^{c} σύ$^{rpd\text{-}s}$ ὅς^{dnms} κύριος^{nnms} σύνεσις^{nafs} ἐν^{p} πᾶς^{adnpn}. **v.8** μνημονεύω^{vdpa2s} Ἰησοῦς^{nams} Χριστός^{nams} ἐγείρω^{vpxpams} ἐκ^{p} νεκρός^{agmpn} ἐκ^{p} σπέρμα^{ngns} Δαυίδ^{tp} κατά^{p} ὁ^{dans} εὐαγγέλιον^{nans} ἐγώ$^{rpg\text{-}s}$. **v.9** ἐν^{p} ὅς^{rrdns} κακοπαθέω^{vipa1s} μέχρι^{bo} δεσμός^{ngmp} ὡς^{bo} κακοῦργος^{anmsn} ἀλλά^{c} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} δέω^{vixp3s}. **v.10** διά^{p} οὗτος^{rdans} πᾶς^{aanpn} ὑπομένω^{vipa1s} διά^{p} ὁ^{damp} ἐκλεκτός^{aampn} ἵνα^{c} καί^{c} αὐτός^{rpnmp} σωτηρία^{ngfs} τυγχάνω^{vsaa3p} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} μετά^{p} δόξα^{ngfs} αἰώνιος^{agfsn}. **v.11** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} εἰ^{qo} γάρ^{c} συναποθνῄσκω^{viaa1p} καί^{c} συζάω^{vifa1p}. **v.12** εἰ^{qo} ὑπομένω^{vipa1p} καί^{c} συμβασιλεύω^{vifa1p} εἰ^{qo} ἀρνέομαι^{vipn1p} κἀκεῖνος^{rdnms} ἀρνέομαι^{vifd3s} ἐγώ$^{rpa\text{-}p}$. **v.13** εἰ^{qo} ἀπιστέω^{vipa1p} ἐκεῖνος^{rdnms} πιστός^{anmsn} μένω^{vipa3s} ἀρνέομαι^{vnad} ἑαυτοῦ^{rxams} οὐ^{xo} δύναμαι^{vipn3s}. **v.14** οὗτος^{rdanp} ὑπομιμνῄσκω^{vdpa2s} διαμαρτύρομαι^{vppnnms} ἐνώπιον^{bo} ὁ^{dgms} κύριος^{ngms} μή^{xo} λογομαχέω^{vnpa} εἰς^{p} οὐδείς^{aansn} χρήσιμος^{aansn} ἐπί^{p} καταστροφή^{ndfs} ὁ^{dgmp} ἀκούω^{vppagmp}. **v.15** σπουδάζω^{vdaa2s} σεαυτοῦ^{rxams} δόκιμος^{aamsn} παρίστημι^{vnaa} ὁ^{ddms} θεός^{ndms} ἐργάτης^{nams} ἀνεπαίσχυντος^{aamsn} ὀρθοτομέω^{vppaams} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} ἀλήθεια^{ngfs}. **v.16** ὁ^{dafp} δέ^{c} βέβηλος^{aafpn} κενοφωνία^{nafp} περιΐστημι^{vdpm2s} ἐπί^{p} πολύς^{aansc} γάρ^{c} προκόπτω^{vifa3p} ἀσέβεια^{ngfs}. **v.17** καί^{c} ὁ^{dnms} λόγος^{nnms} αὐτός^{rpgmp} ὡς^{bo} γάγγραινα^{nnfs} νομή^{nafs} ἔχω^{vifa3s} ὅς^{rrgmp} εἰμί^{vipx3s} Ὑμέναιος^{nnms} καί^{c} Φίλητος^{nnms}.

19 πουσιν τήν τινων πίστιν. ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ
ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην, Ἔγνω κύριος τοὺς ὄντας
αὐτοῦ καί Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα
20 Χρισ′του. Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ
καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα καὶ ἃ μὲν εἰς τιμὴν
21 ἃ δὲ εἰς ἀτιμίαν, ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων
ἔσται σκεῦος εἰς τιμήν ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ
22 εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ νεωτερικὰς ἐπιθυ-
μίας φεῦγε δίωκε δὲ δικαιοσύνην πίστιν ἀγάπην εἰρήνην μετὰ
23 τῶν ἐπικαλουμένων τὸν κύριον ἐκ καθαρᾶς καρδίας. τὰς δὲ
μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ εἰδὼς ὅτι γεννῶσιν
24 μάχας, δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι ἀλ′λ ἥπιον εἶναι
25 πρὸς πάντας διδακτικόν ἀνεξίκακον. ἐν πρᾳότητι παιδεύοντα
τοὺς ἀντιδιατιθεμένους μήποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς
26 ἐπίγνωσιν ἀληθείας. καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου
παγίδος ἐζωγρημένοι ὑπ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

3 Τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιρ-
2 οὶ χαλεποί, ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι φιλάργυροι
ἀλαζόνες ὑπερήφανοι βλάσφημοι γονεῦσιν ἀπειθεῖς ἀχάριστοι
3 ἀνόσιοι. ἄστοργοι ἄσπονδοι διάβολοι ἀκρατεῖς ἀνήμεροι ἀφι-

---

v.18 ὅστις^{rrnmp} περί^{p} ὁ^{dafs} ἀλήθεια^{nafs} ἀστοχέω^{viaa3p} λέγω^{vppanmp} ὁ^{dafs} ἀνάστασις^{nafs} ἤδη^{bo} γίνομαι^{vnxa} καί^{c} ἀνατρέπω^{vipa3p} ὁ^{dafs} τι-σριγμπ πίστις^{nafs}. **v.19** ὁ^{dnms} μέντοι^{c} στερεός^{anmsn} θεμέλιος^{nnms} ὁ^{dgms} θεός^{ngms} ἵστημι^{vixa3s} ἔχω^{vppanms} ὁ^{dafs} σφραγίς^{nafs} οὗτος^{rdafs} γινώσκω^{viaa3s} κύριος^{nnms} ὁ^{damp} εἰμί^{vppxamp} αὐτός^{rpgms} καί^{c} ἀφίστημι^{vdaa3s} ἀπό^{p} ἀδικία^{ngfs} πᾶς^{anmsn} ὁ^{dnms} ὀνομάζω^{vppanms} ὁ^{dans} ὄνομα^{nans} Χριστός^{ngms}. **v.20** ἐν^{p} μέγας^{adfsn} δέ^{c} οἰκία^{ndfs} οὐ^{xo} εἰμί^{vipx3s} μόνος^{bo} σκεῦος^{nnnp} χρυσοῦς^{annpn} καί^{c} ἀργυροῦς^{annpn} ἀλλά^{c} καί^{c} ξύλινος^{annpn} καί^{c} ὀστράκινος^{annpn} καί^{c} ὅς^{rrnnp} μέν^{xo} εἰς^{p} τιμή^{nafs} ὅς^{rrnnp} δέ^{c} εἰς^{p} ἀτιμία^{nafs}. **v.21** ἐάν^{qo} οὖν^{c} τι-σρινμσ ἐκκαθαίρω^{vsaa3s} ἑαυτοῦ^{rxams} ἀπό^{p} οὗτος^{rdgnp} εἰμί^{vifx3s} σκεῦος^{nnns} εἰς^{p} τιμή^{nafs} ἁγιάζω^{vpxpnns} καί^{c} εὔχρηστος^{annsn} ὁ^{ddms} δεσπότης^{ndms} εἰς^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἑτοιμάζω^{vpxpnns}. **v.22** ὁ^{dafp} δέ^{c} νεωτερικός^{aafpn} ἐπιθυμία^{nafp} φεύγω^{vdpa2s} διώκω^{vdpa2s} δέ^{c} δικαιοσύνη^{nafs} πίστις^{nafs} ἀγάπη^{nafs} εἰρήνη^{nafs} μετά^{p} ὁ^{dgmp} ἐπικαλέω^{vppmgmp} ὁ^{dams} κύριος^{nams} ἐκ^{p} καθαρός^{agfsn} καρδία^{ngfs}. **v.23** ὁ^{dafp} δέ^{c} μωρός^{aafpn} καί^{c} ἀπαίδευτος^{aafpn} ζήτησις^{nafp} παραιτέομαι^{vdpn2s} οἶδα^{vpxanms} ὅτι^{c} γεννάω^{vipa3p} μάχη^{nafp}. **v.24** δοῦλος^{nams} δέ^{c} κύριος^{ngms} οὐ^{xo} δεῖ^{vipq3s} μάχομαι^{vnpn} ἀλλά^{c} ἥπιος^{aamsn} εἰμί^{vnpx} πρός^{p} πᾶς^{aampn} διδακτικός^{aamsn} ἀνεξίκακος^{aamsn}. **v.25** ἐν^{p} πραΰτης^{ndfs} παιδεύω^{vppaams} ὁ^{damp} ἀντιδιατίθημι^{vppmamp} μήποτε^{bo} δίδωμι^{vsaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} μετάνοια^{nafs} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs}. **v.26** καί^{c} ἀνανήφω^{vsaa3p} ἐκ^{p} ὁ^{dgfs} ὁ^{dgms} διάβολος^{agmsn} παγίς^{ngfs} ζωγρέω^{vpxpnmp} ὑπό^{p} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} ἐκεῖνος^{rdgms} θέλημα^{nans}. **3. v.1** οὗτος^{rdans} δέ^{c} γινώσκω^{vdpa2s} ὅτι^{c} ἐν^{p} ἔσχατος^{adfpn} ἡμέρα^{ndfp} ἐνίστημι^{vifd3p} καιρός^{nnmp} χαλεπός^{anmpn}. **v.2** εἰμί^{vifx3p} γάρ^{c} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} φίλαυτος^{anmpn} φιλάργυρος^{anmpn} ἀλαζών^{nnmp} ὑπερήφανος^{anmpn} βλάσφημος^{anmpn} γονεύς^{ndmp} ἀπειθής^{anmpn} ἀχάριστος^{anmpn} ἀνόσιος^{anmpn}.

λάγαθοι. προδόται προπετεῖς τετυφωμένοι φιλήδονοι μᾶλλον 4
ἢ φιλόθεοι. ἔχοντες μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς 5
ἠρνημένοι, καὶ τούτους ἀποτρέπου. ἐκ τούτων γάρ εἰσιν οἱ ἐν- 6
δύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτεύοντες τὰ γυναικάρια σε-
σωρευμένα ἁμαρτίαις ἀγόμενα ἐπιθυμίαις ποικίλαις. πάντοτε 7
μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνά-
μενα. ὃν τρόπον δὲ Ἰάννης καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ 8
οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ ἄνθρωποι κατεφθαρ-
μένοι τὸν νοῦν ἀδόκιμοι περὶ τὴν πίστιν, ἀλλ οὐ προκόψουσιν 9
ἐπὶ πλεῖον, ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν ὡς καὶ ἡ
ἐκείνων ἐγένετο. Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ 10
τῇ ἀγωγῇ τῇ προθέσει τῇ πίστει τῇ μακροθυμίᾳ τῇ ἀγάπῃ τῇ
ὑπομονῇ. τοῖς διωγμοῖς τοῖς παθήμασιν οἷά μοι ἐγένετο ἐν 11
Ἀντιοχείᾳ ἐν Ἰκονίῳ ἐν Λύστροις οἵους διωγμοὺς ὑπήνεγκα καὶ
ἐκ πάντων με ἐρρύσατο ὁ κύριος. καὶ πάντες δὲ οἱ θέλοντες 12
εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. πονηροὶ δὲ ἄν- 13
θρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ
πλανώμενοι. σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης εἰδὼς 14
παρὰ τίνος ἔμαθες. καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα 15
οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν

---

v.3 ἄστοργος^{anmpn} ἄσπονδος^{anmpn} διάβολος^{anmpn} ἀκρατής^{anmpn} ἀνήμερος^{anmpn} ἀφιλάγαθος^{anmpn}. **v.4** προδότης^{nnmp} προπετής^{anmpn} τυφόω^{vpxpnmp} φιλήδονος^{anmpn} μᾶλλον^{bo} ἤ^{xo} φιλόθεος^{anmpn}. **v.5** ἔχω^{vppanmp} μόρφωσις^{nafs} εὐσέβεια^{ngfs} ὁ^{dafs} δέ^{c} δύναμις^{nafs} αὐτός^{rpgfs} ἀρνέομαι^{vpxnnmp} καί^{c} οὗτος^{rdamp} ἀποτρέπω^{vdpm2s}. **v.6** ἐκ^{p} οὗτος^{rdgmp} γάρ^{c} εἰμί^{vipx3p} ὁ^{dnmp} ἐνδύνω^{vppanmp} εἰς^{p} ὁ^{dafp} οἰκία^{nafp} καί^{c} αἰχμαλωτεύω^{vppanmp} ὁ^{danp} γυναικάριον^{nanp} σωρεύω^{vpxpanp} ἁμαρτία^{ndfp} ἄγω^{vpppanp} ἐπιθυμία^{ndfp} ποικίλος^{adfpn}. **v.7** πάντοτε^{bo} μανθάνω^{vppaanp} καί^{c} μηδέποτε^{bo} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ἔρχομαι^{vnaa} δύναμαι^{vppnanp}. **v.8** ὅς^{rrams} τρόπος^{nams} δέ^{c} Ἰάννης^{nnms} καί^{c} Ἰαμβρῆς^{nnms} ἀνθίστημι^{viaa3p} Μωϋσῆς^{ndms} οὕτω^{bo} καί^{c} οὗτος^{rdnmp} ἀνθίστημι^{vipm3p} ὁ^{ddfs} ἀλήθεια^{ndfs} ἄνθρωπος^{nnmp} καταφθείρω^{vpxpnmp} ὁ^{dams} νοῦς^{nams} ἀδόκιμος^{anmpn} περί^{p} ὁ^{dafs} πίστις^{nafs}. **v.9** ἀλλά^{c} οὐ^{xo} προκόπτω^{vifa3p} ἐπί^{p} πολύς^{aansc} ὁ^{dnfs} γάρ^{c} ἄνοια^{nnfs} αὐτός^{rpgmp} ἔκδηλος^{anmsn} εἰμί^{vifx3s} πᾶς^{admpn} ὡς^{bo} καί^{c} ὁ^{dnfs} ἐκεῖνος^{rdgmp} γίνομαι^{viad3s}. **v.10** σύ$^{rpn-s}$ δέ^{c} παρακολουθέω^{vixa2s} ἐγώ$^{rpg-s}$ ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ἀγωγή^{ndfs} ὁ^{ddfs} πρόθεσις^{ndfs} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} μακροθυμία^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.11** ὁ^{ddmp} διωγμός^{ndmp} ὁ^{ddnp} πάθημα^{ndnp} οἷος^{rrnnp} ἐγώ$^{rpd-s}$ γίνομαι^{viad3s} ἐν^{p} Ἀντιόχεια^{ndfs} ἐν^{p} Ἰκόνιον^{ndns} ἐν^{p} Λύστρα^{ndnp} οἷος^{rrcanp} διωγμός^{namp} ὑποφέρω^{viaa1s} καί^{c} ἐκ^{p} πᾶς^{agmpn} ἐγώ$^{rpa-s}$ ῥύομαι^{vian3s} ὁ^{dnms} κύριος^{nnms}. **v.12** καί^{c} πᾶς^{anmpn} δέ^{c} ὁ^{dnmp} θέλω^{vppanmp} εὐσεβῶς^{bo} ζάω^{vnpa} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} διώκω^{vifp3p}. **v.13** πονηρός^{anmpn} δέ^{c} ἄνθρωπος^{nnmp} καί^{c} γόης^{nnmp} προκόπτω^{vifa3p} ἐπί^{p} ὁ^{dans} χείρων^{aansn} πλανάω^{vppanmp} καί^{c} πλανάω^{vpppnmp}. **v.14** σύ$^{rpn-s}$ δέ^{c} μένω^{vdpa2s} ἐν^{p} ὅς^{rrdnp} μανθάνω^{viaa2s} καί^{c} πιστόω^{viap2s} οἶδα^{vpxanms} παρά^{p} τίς^{rqgms} μανθάνω^{viaa2s}.

16 Χριστῷ Ἰησοῦ. πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς
διδασκαλίαν πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν πρὸς παιδείαν
17 τὴν ἐν δικαιοσύνῃ. ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος πρὸς
πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

4 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυρίου
Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς κα-
2 τὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον
τὸν λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγξον ἐπιτίμησον πα-
3 ρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. ἔσται γὰρ και-
ρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται ἀλλὰ κατὰ
τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους
4 κνηθόμενοι τὴν ἀκοήν. καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκο-
5 ὴν ἀποστρέψουσιν ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. σὺ δὲ
νῆφε ἐν πᾶσιν κακοπάθησον ἔργον ποίησον εὐαγγελιστοῦ τὴν
6 διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ
7 καιρὸς τῆς ἐμῆς ἀναλύσεώς ἐφέστηκεν. τὸν ἀγῶνα τὸν καλὸν
8 ἠγώνισμαι τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα, λοιπὸν
ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ
κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής οὐ μόνον δὲ ἐ-
μοὶ ἀλλὰ καὶ πάσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ.
9 Σπούδασον ἐλθεῖν πρός με ταχέως, Δημᾶς γάρ με ἐγκατέλι-

---

v.15 καίc ὅτιc ἀπόp βρέφοςngns ὁdanp ἱερόςaanpn γράμμαnanp οἶδαvixa2s ὁdanp δύναμαιvppnanp σὺrpa-s σοφίζωvnaa εἰςp σωτηρίαnafs διάp πίστιςngfs ὁdgfs ἐνp Χριστόςndms Ἰησοῦςndms. **v.16** πᾶςanfsn γραφὴnnfs θεόπνευστοςanfsn καίc ὠφέλιμοςanmsn πρόςp διδασκαλίαnafs πρόςp ἔλεγχοςnams πρόςp ἐπανόρθωσιςnafs πρόςp παιδείαnafs ὁdafs ἐνp δικαιοσύνηndfs. **v.17** ἵναc ἄρτιοςanmsn εἰμίvspx3s ὁdnms ὁdgms θεόςngms ἄνθρωποςnnms πρόςp πᾶςaansn ἔργονnans ἀγαθόςaansn ἐξαρτίζωvpxpnms. **4. v.1** διαμαρτύρομαιvipn1s οὖνc ἐγώrpn-s ἐνώπιονbo ὁdgms θεόςngms καίc ὁdgms κύριοςngms Ἰησοῦςngms Χριστόςngms ὁdgms μέλλωvppagms κρίνωvnpa ζάωvppaamp καίc νεκρόςaampn κατάp ὁdafs ἐπιφάνειαnafs αὐτόςrpgms καίc ὁdafs βασιλείαnafs αὐτόςrpgms. **v.2** κηρύσσωvdaa2s ὁdams λόγοςnams ἐφίστημιvdaa2s εὐκαίρωςbo ἀκαίρωςbo ἐλέγχωvdaa2s ἐπιτιμάωvdaa2s παρακαλέωvdaa2s ἐνp πᾶςadfsn μακροθυμίαndfs καίc διδαχήndfs. **v.3** εἰμίvifx3s γάρc καιρόςnnms ὅτεbo ὁdgfs ὑγιαίνωvppagfs διδασκαλίαngfs οὐxo ἀνέχωvifd3p ἀλλάc κατάp ὁdafp ἐπιθυμίαnafp ὁdafp ἴδιοςaafpn ἑαυτοῦrxdmp ἐπισωρεύωvifa3p διδάσκαλοςnamp κνήθωvpppnmp ὁdafs ἀκοήnafs. **v.4** καίc ἀπόp μένxo ὁdgfs ἀλήθειαngfs ὁdafs ἀκοήnafs ἀποστρέφωvifa3p ἐπίp δέc ὁdamp μῦθοςnamp ἐκτρέπωvifp3p. **v.5** σύrpn-s δέc νήφωvdpa2s ἐνp πᾶςadnpn κακοπαθέωvdaa2s ἔργονnans ποιέωvdaa2s εὐαγγελιστήςngms ὁdafs διακονίαnafs σύrpg-s πληροφορέωvdaa2s. **v.6** ἐγώrpn-s γάρc ἤδηbo σπένδωvipp1s καίc ὁdnms καιρόςnnms ὁdgfs ἐμόςrsgfs ἀνάλυσιςngfs ἐφίστημιvixa3s. **v.7** ὁdams ἀγώνnams ὁdams καλόςaamsn ἀγωνίζομαιvixn1s ὁdams δρόμοςnams τελέωvixa1s ὁdafs πίστιςnafs τηρέωvixa1s. **v.8** λοιπόςaansn ἀπόκειμαιvipn3s ἐγώrpd-s ὁdnms ὁdgfs δικαιοσύνηngfs στέφανοςnnms ὅςrrams ἀποδίδωμιvifa3s ἐγώrpd-s ὁdnms κύριοςnnms ἐνp ἐκεῖνοςrddfs ὁddfs ἡμέραndfs ὁdnms δίκαιοςanmsn κριτήςnnms οὐxo μόνοςbo δέc ἐγώrpd-s ἀλλάc καίc πᾶςadmpn ὁddmp ἀγαπάωvpxadmp ὁdafs ἐπιφάνειαnafs αὐτόςrpgms.

10

πεν ἀγαπήσας τὸν νῦν αἰῶνα καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην
Κρήσκης εἰς Γαλατίαν Τίτος εἰς Δαλματίαν, Λουκᾶς ἐστιν μό- 11
νος μετ ἐμοῦ Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ ἔστιν γάρ
μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔ- 12
φεσον. τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ 13
ἐρχόμενος φέρε καὶ τὰ βιβλία μάλιστα τὰς μεμβράνας. Ἀλέ- 14
ξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ἀποδῴη αὐτῷ ὁ
κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυλάσσου λίαν γὰρ ἀν- 15
θέστηκεν τοῖς ἡμετέροις λόγοις. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ 16
οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον, μὴ
αὐτοῖς λογισθείη, ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν 17
με ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ πάντα
τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. καὶ ῥύσεταί με ὁ 18
κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν
αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων
ἀμήν. Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου 19
οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ Τρόφιμον δὲ ἀπέλιπον ἐν 20
Μιλήτῳ ἀσθενοῦντα. Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν Ἀσπά- 21
ζεταί σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ

---

v.9 σπουδάζω^{vdaa2s} ἔρχομαι^{vnaa} πρός^{p} ἐγώ$^{rpa\text{-}s}$ ταχέως^{bo}. **v.10** Δημᾶς^{nnms} γάρ^{c} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3s} ἀγαπάω^{vpaanms} ὁ^{dams} νῦν^{bo} αἰών^{nams} καί^{c} πορεύομαι^{viao3s} εἰς^{p} Θεσσαλονίκη^{nafs} Κρήσκης^{nnms} εἰς^{p} Γαλατία^{nafs} Τίτος^{nnms} εἰς^{p} Δαλματία^{nafs}. **v.11** Λουκᾶς^{nnms} εἰμί^{vipx3s} μόνος^{anmsn} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ Μᾶρκος^{nams} ἀναλαμβάνω^{vpaanms} ἄγω^{vdpa2s} μετά^{p} σεαυτοῦ^{rxgms} εἰμί^{vipx3s} γάρ^{c} ἐγώ$^{rpd\text{-}s}$ εὔχρηστος^{anmsn} εἰς^{p} διακονία^{nafs}. **v.12** Τυχικός^{nams} δέ^{c} ἀποστέλλω^{viaa1s} εἰς^{p} Ἔφεσος^{nafs}. **v.13** ὁ^{dams} φαιλόνης^{nams} ὅς^{rrams} ἀπολείπω^{viaa1s} ἐν^{p} Τρῳάς^{ndfs} παρά^{p} Καρπός^{ndms} ἔρχομαι^{vppnnms} φέρω^{vdpa2s} καί^{c} ὁ^{danp} βιβλίον^{nanp} μάλιστα^{bo} ὁ^{dafp} μεμβράνα^{nafp}. **v.14** Ἀλέξανδρος^{nnms} ὁ^{dnms} χαλκεύς^{nnms} πολύς^{aanpn} ἐγώ$^{rpd\text{-}s}$ κακός^{aanpn} ἐνδείκνυμι^{viam3s} ἀποδίδωμι^{voaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} κατά^{p} ὁ^{danp} ἔργον^{nanp} αὐτός^{rpgms}. **v.15** ὅς^{rrams} καί^{c} σύ$^{rpn\text{-}s}$ φυλάσσω^{vdpm2s} λίαν^{bo} γάρ^{c} ἀνθίστημι^{vixa3s} ὁ^{ddmp} ἡμέτερος^{rsdmp} λόγος^{ndmp}. **v.16** ἐν^{p} ὁ^{ddfs} πρῶτος^{adfsn} ἐγώ$^{rpg\text{-}s}$ ἀπολογία^{ndfs} οὐδείς^{anfsn} ἐγώ$^{rpd\text{-}s}$ συμπαραγίνομαι^{viad3s} ἀλλά^{c} πᾶς^{anmpn} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3p} μή^{xo} αὐτός^{rpdmp} λογίζομαι^{voao3s}. **v.17** ὁ^{dnms} δέ^{c} κύριος^{nnms} ἐγώ$^{rpd\text{-}s}$ παρίστημι^{viaa3s} καί^{c} ἐνδυναμόω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ἵνα^{c} διά^{p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnns} κήρυγμα^{nnns} πληροφορέω^{vsap3s} καί^{c} ἀκούω^{vsaa3s} πᾶς^{annpn} ὁ^{dnnp} ἔθνος^{nnnp} καί^{c} ῥύομαι^{viap1s} ἐκ^{p} στόμα^{ngns} λέων^{ngms}. **v.18** καί^{c} ῥύομαι^{vifd3s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} κύριος^{nnms} ἀπό^{p} πᾶς^{agnsn} ἔργον^{ngns} πονηρός^{agnsn} καί^{c} σῴζω^{vifa3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgms} ὁ^{dafs} ἐπουράνιος^{aafsn} ὅς^{rrdms} ὁ^{dnfs} δόξα^{nnfs} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.19** ἀσπάζομαι^{vdad2s} Πρίσκα^{nafs} καί^{c} Ἀκύλας^{nams} καί^{c} ὁ^{dams} Ὀνησίφορος^{ngms} οἶκος^{nams}. **v.20** Ἔραστος^{nnms} μένω^{viaa3s} ἐν^{p} Κόρινθος^{ndfs} Τρόφιμος^{nams} δέ^{c} ἀπολείπω^{viaa1s} ἐν^{p} Μίλητος^{ndfs} ἀσθενέω^{vppaams}.

22 ἀδελφοὶ πάντες. Ὁ κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου ἡ χάρις μεθ ὑμῶν ἀμήν. [πρός Τιμόθεον δευτέρα τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπό Ῥωμης ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρί Νέρωνι]

v.21 σπουδάζω^{vdaa2s} πρό^{p} χειμών^{ngms} ἔρχομαι^{vnaa} ἀσπάζομαι^{vipn3s} σύ$^{rpa\text{-}s}$ Εὔβουλος^{nnms} καί^{c} Πούδης^{nnms} καί^{c} Λίνος^{nnms} καί^{c} Κλαυδία^{nnfs} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} πᾶς^{anmpn}. **v.22** ὁ^{dnms} κύριος^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg\text{-}s}$ ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} σύ$^{rpg\text{-}p}$ ἀμήνth πρός^{p} Τιμόθεος^{nams} δεύτερος^{anfsn} ὁ^{dgfs} Ἐφέσιος^{agmpn} ἐκκλησία^{ngfs} πρῶτος^{aamsn} ἐπίσκοπος^{nams} χειροτονέω^{vpapams} γράφω^{viap3s} ἀπό^{p} Ῥωμη^{ngfs} ὅτε^{bo} ἐκ^{p} δεύτερος^{agnsn} παρίστημι^{viaa3s} Παῦλος^{nnms} ὁ^{ddms} Καῖσαρ^{ndms} Νέρων^{ndms}.

Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος δοῦλος θεοῦ ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πί- **1**
στιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ εὐσέβειαν.
ἐπ ἐλπίδι ζωῆς αἰωνίου ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ 2
χρόνων αἰωνίων. ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐ- 3
τοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ ἐπιταγὴν τοῦ σωτῆρος
ἡμῶν θεοῦ. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν χάρις ἔ- 4
λεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ
σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ ἵνα τὰ 5
λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέ-
ρους ὡς ἐγώ σοι διεταξάμην. εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς 6
γυναικὸς ἀνήρ τέκνα ἔχων πιστά μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ
ἀνυπότακτα. δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θε- 7
οῦ οἰκονόμον μὴ αὐθάδη μὴ ὀργίλον μὴ πάροινον μὴ πλή-
κτην μὴ αἰσχροκερδῆ. ἀλλὰ φιλόξενον φιλάγαθον σώφρονα 8
δίκαιον ὅσιον ἐγκρατῆ. ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν 9
πιστοῦ λόγου ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκα-
λίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶν γὰρ 10
πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ φρεναπάται μάλιστα

---

1. v.1 Παῦλος^{nnms} δοῦλος^{nnms} θεός^{ngms} ἀπόστολος^{nnms} δέ^{c} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κατά^{p} πίστις^{nafs} ἐκλεκτός^{agmpn} θεός^{ngms} καί^{c} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ὁ^{dgfs} κατά^{p} εὐσέβεια^{nafs}. **v.2** ἐπί^{p} ἐλπίς^{ndfs} ζωή^{ngfs} αἰώνιος^{agfsn} ὅς^{rrafs} ἐπαγγέλλομαι^{viad3s} ὁ^{dnms} ἀψευδής^{anmsn} θεός^{nnms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}. **v.3** φανερόω^{viaa3s} δέ^{c} καιρός^{ndmp} ἴδιος^{admpn} ὁ^{dams} λόγος^{nams} αὐτός^{rpgms} ἐν^{p} κήρυγμα^{ndns} ὅς^{rrans} πιστεύω^{viap1s} ἐγώ$^{rpn-s}$ κατά^{p} ἐπιταγή^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.4** Τίτος^{ndms} γνήσιος^{adnsn} τέκνον^{ndns} κατά^{p} κοινός^{aafsn} πίστις^{nafs} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.5** οὗτος^{rdgns} χάριν^{bo} καταλείπω^{viaa1s} σύ$^{rpa-s}$ ἐν^{p} Κρήτη^{ndfs} ἵνα^{c} ὁ^{danp} λείπω^{vppaanp} ἐπιδιορθόω^{vsam2s} καί^{c} καθίστημι^{vsaa2s} κατά^{p} πόλις^{nafs} πρεσβύτερος^{aampn} ὡς^{bo} ἐγώ$^{rpn-s}$ σύ$^{rpd-s}$ διατάσσω^{viam1s}. **v.6** εἰ^{qo} τίς^{rinms} εἰμί^{vipx3s} ἀνέγκλητος^{anmsn} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nnms} τέκνον^{nanp} ἔχω^{vppanms} πιστός^{aanpn} μή^{xo} ἐν^{p} κατηγορία^{ndfs} ἀσωτία^{ngfs} ἤ^{xo} ἀνυπότακτος^{aanpn}. **v.7** δεῖ^{vipq3s} γάρ^{c} ὁ^{dams} ἐπίσκοπος^{nams} ἀνέγκλητος^{aamsn} εἰμί^{vnpx} ὡς^{bo} θεός^{ngms} οἰκονόμος^{nams} μή^{xo} αὐθάδης^{aamsn} μή^{xo} ὀργίλος^{aamsn} μή^{xo} πάροινος^{aamsn} μή^{xo} πλήκτης^{nams} μή^{xo} αἰσχροκερδής^{aamsn}. **v.8** ἀλλά^{c} φιλόξενος^{aamsn} φιλάγαθος^{aamsn} σώφρων^{aamsn} δίκαιος^{aamsn} ὅσιος^{aamsn} ἐγκρατής^{aamsn}. **v.9** ἀντέχω^{vppnams} ὁ^{dgms} κατά^{p} ὁ^{dafs} διδαχή^{nafs} πιστός^{agmsn} λόγος^{ngms} ἵνα^{c} δυνατός^{anmsn} εἰμί^{vspx3s} καί^{c} παρακαλέω^{vnpa} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} καί^{c} ὁ^{damp} ἀντιλέγω^{vppaamp} ἐλέγχω^{vnpa}.

11 οἱ ἐκ περιτομῆς. οὓς δεῖ ἐπιστομίζειν οἵτινες ὅλους οἴκους
ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.
12 εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης Κρῆτες ἀεὶ ψεῦσται
13 κακὰ θηρία γαστέρες ἀργαί. ἡ μαρτυρία αὕτη ἐστὶν ἀλη-
θής δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως ἵνα ὑγιαίνωσιν ἐν τῇ
14 πίστει. μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀν-
15 θρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. πάντα μὲν καθαρὰ
τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθα-
16 ρόν ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. θεὸν
ὁμολογοῦσιν εἰδέναι τοῖς δὲ ἔργοις ἀρνοῦνται βδελυκτοὶ ὄντες
καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

2, 2 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. πρεσβύ-
τας νηφαλίους εἶναι σεμνούς σώφρονας ὑγιαίνοντας τῇ πίστει
3 τῇ ἀγάπῃ τῇ ὑπομονῇ, πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι
ἱεροπρεπεῖς μὴ διαβόλους μὴ οἴνῳ πολλῷ δεδουλωμένας καλο-
4 διδασκάλους. ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι φι-
5 λοτέκνους. σώφρονας ἁγνάς οἰκουρούς ἀγαθάς ὑποτασσομέ-
νας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται.
6, 7 τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν. περὶ πάντα
σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀ-

---

v.10 εἰμί^{vipx3p} γάρ^{c} πολύς^{anmpn} καί^{c} ἀνυπότακτος^{anmpn} ματαιολόγος^{anmpn} καί^{c} φρεναπάτης^{nnmp} μάλιστα^{bo} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs}. **v.11** ὅς^{rramp} δεῖ^{vipq3s} ἐπιστομίζω^{vnpa} ὅστις^{rrnmp} ὅλος^{aampn} οἶκος^{namp} ἀνατρέπω^{vipa3p} διδάσκω^{vppanmp} ὅς^{rranp} μή^{xo} δεῖ^{vipq3s} αἰσχρός^{agnsn} κέρδος^{ngns} χάριν^{bo}. **v.12** λέγω^{viaa3s} τι-σρινμσ ἐκ^{p} αὐτός^{rpgmp} ἴδιος^{anmsn} αὐτός^{rpgmp} προφήτης^{nnms} Κρής^{nnmp} ἀεί^{bo} ψεύστης^{nnmp} κακός^{annpn} θηρίον^{nnnp} γαστήρ^{nnfp} ἀργός^{anfpn}. **v.13** ὁ^{dnfs} μαρτυρία^{nnfs} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἀληθής^{anfsn} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἐλέγχω^{vdpa2s} αὐτός^{rpamp} ἀποτόμως^{bo} ἵνα^{c} ὑγιαίνω^{vspa3p} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.14** μή^{xo} προσέχω^{vppanmp} Ἰουδαϊκός^{admpn} μῦθος^{ndmp} καί^{c} ἐντολή^{ndfp} ἄνθρωπος^{ngmp} ἀποστρέφω^{vppmgmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.15** πᾶς^{annpn} μέν^{xo} καθαρός^{annpn} ὁ^{ddmp} καθαρός^{admpn} ὁ^{ddmp} δέ^{c} μιαίνω^{vpxpdmp} καί^{c} ἄπιστος^{admpn} οὐδείς^{annsn} καθαρός^{annsn} ἀλλά^{c} μιαίνω^{vixp3s} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnms} νοῦς^{nnms} καί^{c} ὁ^{dnfs} συνείδησις^{nnfs}. **v.16** θεός^{nams} ὁμολογέω^{vipa3p} οἶδα^{vnxa} ὁ^{ddnp} δέ^{c} ἔργον^{ndnp} ἀρνέομαι^{vipn3p} βδελυκτός^{anmpn} εἰμί^{vppxnmp} καί^{c} ἀπειθής^{anmpn} καί^{c} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἀδόκιμος^{anmpn}. **2. v.1** σύ$^{rpn-s}$ δέ^{c} λαλέω^{vdpa2s} ὅς^{rranp} πρέπω^{vipq3s} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} διδασκαλία^{ndfs}. **v.2** πρεσβύτης^{namp} νηφάλιος^{aampn} εἰμί^{vnpx} σεμνός^{aampn} σώφρων^{aampn} ὑγιαίνω^{vppaamp} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.3** πρεσβῦτις^{nafp} ὡσαύτως^{bo} ἐν^{p} κατάστημα^{ndns} ἱεροπρεπής^{aafpn} μή^{xo} διάβολος^{aafpn} μή^{xo} οἶνος^{ndms} πολύς^{admsn} δουλόω^{vpxpafp} καλοδιδάσκαλος^{aafpn}. **v.4** ἵνα^{c} σωφρονίζω^{vspa3p} ὁ^{dafp} νέος^{aafpn} φίλανδρος^{nafp} εἰμί^{vnpx} φιλότεκνος^{aafpn}. **v.5** σώφρων^{aafpn} ἁγνός^{aafpn} οἰκουρός^{aafpn} ἀγαθός^{aafpn} ὑποτάσσω^{vpppafp} ὁ^{ddmp} ἴδιος^{admpn} ἀνήρ^{ndmp} ἵνα^{c} μή^{xo} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} βλασφημέω^{vspp3s}. **v.6** ὁ^{damp} νέος^{aampc} ὡσαύτως^{bo} παρακαλέω^{vdpa2s} σωφρονέω^{vnpa}.

διἀφθορίαν, σεμνότητα ἀφθαρσιαν, λόγον ὑγιῆ ἀκατάγνωστον 8
ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.
δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέστους 9
εἶναι μὴ ἀντιλέγοντας. μὴ νοσφιζομένους ἀλλὰ πίστιν πᾶσαν 10
ἐνδεικνυμένους ἀγαθήν ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ὑ-
μῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ 11
ἡ σωτήριος πᾶσιν ἀνθρώποις. παιδεύουσα ἡμᾶς ἵνα ἀρνησά- 12
μενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ
δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. προσδεχόμενοι 13
τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου
θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὃς ἔδωκεν ἑαυτὸν 14
ὑπὲρ ἡμῶν ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ κα-
θαρίσῃ ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων. Ταῦτα 15
λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς, μηδείς
σου περιφρονείτω.

Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι **3**
πειθαρχεῖν πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι. μηδένα 2
βλασφημεῖν ἀμάχους εἶναι ἐπιεικεῖς πᾶσαν ἐνδεικνυμένους
πρᾳότητα πρὸς πάντας ἀνθρώπους. Ἦμεν γάρ ποτε καὶ ἡ- 3
μεῖς ἀνόητοι ἀπειθεῖς πλανώμενοι δουλεύοντες ἐπιθυμίαις καὶ
ἡδοναῖς ποικίλαις ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες στυγητοί μι-

---

v.7 περι^{p} πᾶς^{aanpn} σεαυτοῦ^{rxams} παρέχω^{vppmnms} τύπος^{nams} καλός^{agnpn} ἔργον^{ngnp} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ἀδιαφθορία^{nafs} σεμνότης^{nafs} ἀφθαρσία^{nafs}. **v.8** λόγος^{nams} ὑγιής^{aamsn} ἀκατάγνωστος^{aamsn} ἵνα^{c} ὁ^{dnms} ἐκ^{p} ἐναντίος^{agfsn} ἐντρέπω^{vsap3s} μηδείς^{aansn} ἔχω^{vppanms} περι^{p} σύ$^{rpg-p}$ λέγω^{vnpa} φαῦλος^{aansn}. **v.9** δοῦλος^{namp} ἴδιος^{admpn} δεσπότης^{ndmp} ὑποτάσσω^{vnpm} ἐν^{p} πᾶς^{adnpn} εὐάρεστος^{aampn} εἰμί^{vnpx} μή^{xo} ἀντιλέγω^{vppaamp}. **v.10** μή^{xo} νοσφίζω^{vppmamp} ἀλλά^{c} πίστις^{nafs} πᾶς^{aafsn} ἐνδείκνυμι^{vppmamp} ἀγαθός^{aafsn} ἵνα^{c} ὁ^{dafs} διδασκαλία^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} σύ$^{rpg-p}$ θεός^{ngms} κοσμέω^{vspa3p} ἐν^{p} πᾶς^{adnpn}. **v.11** ἐπιφαίνω^{viap3s} γάρ^{c} ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnfs} σωτήριος^{anmsn} πᾶς^{admpn} ἄνθρωπος^{ndmp}. **v.12** παιδεύω^{vppanfs} ἐγώ$^{rpa-p}$ ἵνα^{c} ἀρνέομαι^{vpadnmp} ὁ^{dafs} ἀσέβεια^{nafs} καί^{c} ὁ^{dafp} κοσμικός^{aafpn} ἐπιθυμία^{nafp} σωφρόνως^{bo} καί^{c} δικαίως^{bo} καί^{c} εὐσεβῶς^{bo} ζάω^{vsaa1p} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} αἰών^{ndms}. **v.13** προσδέχομαι^{vppnnmp} ὁ^{dafs} μακάριος^{aafsn} ἐλπίς^{nafs} καί^{c} ἐπιφάνεια^{nafs} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} μέγας^{agmsn} θεός^{ngms} καί^{c} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.14** ὅς^{rrnms} δίδωμι^{viaa3s} ἑαυτοῦ^{rxams} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ἵνα^{c} λυτρόω^{vsam3s} ἐγώ$^{rpa-p}$ ἀπό^{p} πᾶς^{agfsn} ἀνομία^{ngfs} καί^{c} καθαρίζω^{vsaa3s} ἑαυτοῦ^{rxdms} λαός^{nams} περιούσιος^{aamsn} ζηλωτής^{nams} καλός^{agnpn} ἔργον^{ngnp}. **v.15** οὗτος^{rdanp} λαλέω^{vdpa2s} καί^{c} παρακαλέω^{vdpa2s} καί^{c} ἐλέγχω^{vdpa2s} μετά^{p} πᾶς^{agfsn} ἐπιταγή^{ngfs} μηδείς^{anmsn} σύ$^{rpg-s}$ περιφρονέω^{vdpa3s}. **3. v.1** ὑπομιμνήσκω^{vdpa2s} αὐτός^{rpamp} ἀρχή^{ndfp} καί^{c} ἐξουσία^{ndfp} ὑποτάσσω^{vnpm} πειθαρχέω^{vnpa} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἕτοιμος^{aampn} εἰμί^{vnpx}. **v.2** μηδείς^{aamsn} βλασφημέω^{vnpa} ἄμαχος^{aampn} εἰμί^{vnpx} ἐπιεικής^{aampn} πᾶς^{aafsn} ἐνδείκνυμι^{vppmamp} πραΰτης^{nafs} πρός^{p} πᾶς^{aampn} ἄνθρωπος^{namp}.

4 σοῦντες ἀλλήλους. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία
5 ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ. οὐκ ἐξ ἔργων τῶν ἐν δικαι-
οσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν
ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύμα-
6 τος ἁγίου. οὗ ἐξέχεεν ἐφ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ
7 τοῦ σωτῆρος ἡμῶν. ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κλη-
8 ρονόμοι γενώμεθα κατ ἐλπίδα ζωῆς αἰωνίου. Πιστὸς ὁ λόγος,
καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι ἵνα φροντίζωσιν
καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ θεῷ, ταῦτά ἐ-
9 στιν τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητή-
σεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο,
10 εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ
11 μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. εἰδὼς ὅτι ἐξέστραπται
12 ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω
Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν σπούδασον ἐλθεῖν πρός με εἰς Νι-
13 κόπολιν ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν
καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον ἵνα μηδὲν αὐτοῖς λείπῃ.
14 μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι
15 εἰς τὰς ἀναγκαίας χρείας ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί
σε οἱ μετ ἐμοῦ πάντες Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πί-
στει ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν. [πρός Τίτον τῆς Κρητῶν

---

v.3 εἰμί^{viix1p} γάρ^{c} ποτέ^{xo} καί^{c} ἐγώ$^{rpn-p}$ ἀνόητος^{anmpn} ἀπειθής^{anmpn} πλανάω^{vpppnmp} δουλεύω^{vppanmp} ἐπιθυμία^{ndfp} καί^{c} ἡδονή^{ndfp} ποικίλος^{adfpn} ἐν^{p} κακία^{ndfs} καί^{c} φθόνος^{ndms} διάγω^{vppanmp} στυγητός^{anmpn} μισέω^{vppanmp} ἀλλήλων^{reamp}. **v.4** ὅτε^{bo} δέ^{c} ὁ^{dnfs} χρηστότης^{nnfs} καί^{c} ὁ^{dnfs} φιλανθρωπία^{nnfs} ἐπιφαίνω^{viap3s} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.5** οὐ^{xo} ἐκ^{p} ἔργον^{ngnp} ὁ^{dgnp} ἐν^{p} δικαιοσύνη^{ndfs} ὅς^{rrgnp} ποιέω^{viaa1p} ἐγώ$^{rpn-p}$ ἀλλά^{c} κατά^{p} ὁ^{dams} αὐτός^{rpgms} ἔλεος^{nams} σῴζω^{viaa3s} ἐγώ$^{rpa-p}$ διά^{p} λουτρόν^{ngns} παλιγγενεσία^{ngfs} καί^{c} ἀνακαίνωσις^{ngfs} πνεῦμα^{ngns} ἅγιος^{agnsn}. **v.6** ὅς^{rrgns} ἐκχέω^{viaa3s} ἐπί^{p} ἐγώ$^{rpa-p}$ πλουσίως^{bo} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.7** ἵνα^{c} δικαιόω^{vpapnmp} ὁ^{ddfs} ἐκεῖνος^{rdgms} χάρις^{ndfs} κληρονόμος^{nnmp} γίνομαι^{vsad1p} κατά^{p} ἐλπίς^{nafs} ζωή^{ngfs} αἰώνιος^{agfsn}. **v.8** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} καί^{c} περί^{p} οὗτος^{rdgnp} βούλομαι^{vipn1s} σύ$^{rpa-s}$ διαβεβαιόομαι^{vnpn} ἵνα^{c} φροντίζω^{vspa3p} καλός^{agnpn} ἔργον^{ngnp} προΐστημι^{vnpm} ὁ^{dnmp} πιστεύω^{vpxanmp} ὁ^{ddms} θεός^{ndms} οὗτος^{rdnnp} εἰμί^{vipx3s} ὁ^{dnnp} καλός^{annpn} καί^{c} ὠφέλιμος^{annpn} ὁ^{ddmp} ἄνθρωπος^{ndmp}. **v.9** μωρός^{aafpn} δέ^{c} ζήτησις^{nafp} καί^{c} γενεαλογία^{nafp} καί^{c} ἔρις^{nafp} καί^{c} μάχη^{nafp} νομικός^{aafpn} περιΐστημι^{vdpm2s} εἰμί^{vipx3p} γάρ^{c} ἀνωφελής^{anfpn} καί^{c} μάταιος^{anmpn}. **v.10** αἱρετικός^{aamsn} ἄνθρωπος^{nams} μετά^{p} εἷς^{nafs} καί^{c} δεύτερος^{aafsn} νουθεσία^{nafs} παραιτέομαι^{vdpn2s}. **v.11** οἶδα^{vpxanms} ὅτι^{c} ἐκστρέφω^{vixp3s} ὁ^{dnms} τοιοῦτος^{rdnms} καί^{c} ἁμαρτάνω^{vipa3s} εἰμί^{vppxnms} αὐτοκατάκριτος^{anmsn}. **v.12** ὅταν^{c} πέμπω^{vifa1s} Ἀρτεμᾶς^{nams} πρός^{p} σύ$^{rpa-s}$ ἤ^{xo} Τυχικός^{nams} σπουδάζω^{vdaa2s} ἔρχομαι^{vnaa} πρός^{p} ἐγώ$^{rpa-s}$ εἰς^{p} Νικόπολις^{nafs} ἐκεῖ^{bo} γάρ^{c} κρίνω^{vixa1s} παραχειμάζω^{vnaa}. **v.13** Ζηνᾶς^{nams} ὁ^{dams} νομικός^{aamsn} καί^{c} Ἀπολλῶς^{nams} σπουδαίως^{bo} προπέμπω^{vdaa2s} ἵνα^{c} μηδείς^{aansn} αὐτός^{rpdmp} λείπω^{vspa3s}. **v.14** μανθάνω^{vdpa3p} δέ^{c} καί^{c} ὁ^{dnmp} ἡμέτερος^{rsnmp} καλός^{agnpn} ἔργον^{ngnp} προΐστημι^{vnpm} εἰς^{p} ὁ^{dafp} ἀναγκαῖος^{aafpn} χρεία^{nafp} ἵνα^{c} μή^{xo} εἰμί^{vspx3p} ἄκαρπος^{anmpn}.

ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπό Νικοπόλεως τῆς Μακεδονίασ]

v.15 ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}s}$ ὁ^{dnmp} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ πᾶς^{anmpn} ἀσπάζομαι^{vdad2s} ὁ^{damp} φιλέω^{vppaamp} ἐγώ$^{rpa\text{-}p}$ ἐν^{p} πίστις^{ndfs} ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg\text{-}p}$ ἀμήνth πρός^{p} Τίτος^{nams} ὁ^{dgfs} Κρής^{ngmp} ἐκκλησία^{ngfs} πρῶτος^{aamsn} ἐπίσκοπος^{nams} χειροτονέω^{vpapams} γράφω^{viap3s} ἀπό^{p} Νικόπολις^{ngfs} ὁ^{dgfs} Μακεδονία^{ngfs}.

Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς
2 Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν. καὶ Ἀπφίᾳ τῇ ἀ-
γαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ οἶκόν
3 σου ἐκκλησίᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν
4 καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε
5 μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου. ἀκούων σου
τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν
6 καὶ εἰς πάντας τοὺς ἁγίους. ὅπως ἡ κοινωνία τῆς πίστεώς σου
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς
7 Χριστόν Ἰησοῦν. χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν
ἐπὶ τῇ ἀγάπῃ σου ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ
8 σοῦ ἀδελφέ. Διό πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν
9 σοι τὸ ἀνῆκον. διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ τοιοῦτος
ὢν ὡς Παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ, Χριστοῦ.
10 παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου ὃν ἐγέννησα ἐν τοῖς δε-
11 σμοῖς μου, Ὀνήσιμον. τόν ποτέ σοι ἄχρηστον νυνὶ δὲ σοὶ καὶ
12 ἐμοὶ εὔχρηστον. ὃν ἀνέπεμψά σου δὲ αὐτόν τοῦτ᾽ἔστιν τὰ ἐμὰ

---

1. **v.1** Παῦλος^{nnms} δέσμιος^{nnms} Χριστός^{ngms} Ἰησοῦς^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} Φιλήμων^{ndms} ὁ^{ddms} ἀγαπητός^{admsn} καί^{c} συνεργός^{admsn} ἐγώ$^{rpg-p}$. **v.2** καί^{c} Ἀπφία^{ndfs} ὁ^{ddfs} ἀγαπητός^{adfsn} καί^{c} Ἄρχιππος^{ndms} ὁ^{ddms} συστρατιώτης^{ndms} ἐγώ$^{rpg-p}$ καί^{c} ὁ^{ddfs} κατά^{p} οἶκος^{nams} σύ$^{rpg-s}$ ἐκκλησία^{ndfs}. **v.3** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.4** εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-s}$ πάντοτε^{bo} μνεία^{nafs} σύ$^{rpg-s}$ ποιέω^{vppmnms} ἐπί^{p} ὁ^{dgfp} προσευχή^{ngfp} ἐγώ$^{rpg-s}$. **v.5** ἀκούω^{vppanms} σύ$^{rpg-s}$ ὁ^{dafs} ἀγάπη^{nafs} καί^{c} ὁ^{dafs} πίστις^{nafs} ὅς^{rrafs} ἔχω^{vipa2s} πρός^{p} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn}. **v.6** ὅπως^{bo} ὁ^{dnfs} κοινωνία^{nnfs} ὁ^{dgfs} πίστις^{ngfs} σύ$^{rpg-s}$ ἐνεργής^{anfsn} γίνομαι^{vsad3s} ἐν^{p} ἐπίγνωσις^{ndfs} πᾶς^{agnsn} ἀγαθός^{agnsn} ὁ^{dgns} ἐν^{p} σύ$^{rpd-p}$ εἰς^{p} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.7** χάρις^{nafs} γάρ^{c} ἔχω^{vipa1p} πολύς^{aafsn} καί^{c} παράκλησις^{nafs} ἐπί^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} σύ$^{rpg-s}$ ὅτι^{c} ὁ^{dnnp} σπλάγχνον^{nnnp} ὁ^{dgmp} ἅγιος^{agmpn} ἀναπαύω^{vixp3s} διά^{p} σύ$^{rpg-s}$ ἀδελφός^{nvms}. **v.8** διό^{c} πολύς^{aafsn} ἐν^{p} Χριστός^{ndms} παρρησία^{nafs} ἔχω^{vppanms} ἐπιτάσσω^{vnpa} σύ$^{rpd-s}$ ὁ^{dans} ἀνήκω^{vppaans}. **v.9** διά^{p} ὁ^{dafs} ἀγάπη^{nafs} μᾶλλον^{bo} παρακαλέω^{vipa1s} τοιοῦτος^{rdnms} εἰμί^{vppxnms} ὡς^{bo} Παῦλος^{nnms} πρεσβύτης^{nnms} νυνί^{bo} δέ^{c} καί^{c} δέσμιος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.10** παρακαλέω^{vipa1s} σύ$^{rpa-s}$ περί^{p} ὁ^{dgms} ἐμός^{rpg-s} τέκνον^{ngns} ὅς^{rrams} γεννάω^{viaa1s} ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg-s}$ Ὀνήσιμος^{nams}. **v.11** ὁ^{dams} ποτέ^{xo} σύ$^{rpd-s}$ ἄχρηστος^{aamsn} νυνί^{bo} δέ^{c} σύ$^{rpd-s}$ καί^{c} ἐγώ$^{rpd-s}$ εὔχρηστος^{aamsn}. **v.12** ὅς^{rrams} ἀναπέμπω^{viaa1s} σύ$^{rpn-s}$ δέ^{c} αὐτός^{rpams} εἰμί^{rdnns} ὁ^{dnnp} ἐμός^{rsnnp} σπλάγχνον^{nnnp} προσλαμβάνω^{vdam2s}.

σπλάγχνα, πρὸσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέ- 13
χειν ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου.
χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι ἵνα μὴ ὡς 14
κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον. τάχα 15
γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς.
οὐκέτι ὡς δοῦλον ἀλλ᾽ ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν μάλιστα 16
ἐμοί πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ. Εἰ οὖν 17
ἐμέ ἔχεις κοινωνόν προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέν 18
σε ἢ ὀφείλει τοῦτο ἐμοὶ ἐλλόγει, ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ 19
χειρί ἐγὼ ἀποτίσω, ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσ-
οφείλεις. ναί ἀδελφέ ἐγώ σου ὀναίμην ἐν κυρίῳ, ἀνάπαυσόν 20
μου τὰ σπλάγχνα ἐν Κυρίῳ, Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά 21
σοι εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. ἅμα δὲ καὶ ἑτοίμαζέ 22
μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθή-
σομαι ὑμῖν. Ἀσπάζονταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου 23
ἐν Χριστῷ Ἰησοῦ. Μᾶρκος Ἀρίσταρχος Δημᾶς Λουκᾶς οἱ συν- 24
εργοί μου. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ 25
πνεύματος ὑμῶν ἀμήν. [πρός Φιλήμονα ἐγράφη ἀπό Ῥωμης
διά Ὀνησίμου οἰκέτου]

---

v.13 ὅς^{rrams} ἐγώ$^{rpn-s}$ βούλομαι^{viin1s} πρός^{p} ἐμαυτοῦ^{rxams} κατέχω^{vnpa} ἵνα^{c} ὑπέρ^{p} σύ$^{rpg-s}$ διακονέω^{vspa3s} ἐγώ$^{rpd-s}$ ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.14** χωρίς^{bo} δέ^{c} ὁ^{dgfs} σός^{rsgfs} γνώμη^{ngfs} οὐδείς^{aansn} θέλω^{viaa1s} ποιέω^{vnaa} ἵνα^{c} μή^{xo} ὡς^{bo} κατά^{p} ἀνάγκη^{nafs} ὁ^{dnns} ἀγαθός^{annsn} σύ$^{rpg-s}$ εἰμί^{vspx3s} ἀλλά^{c} κατά^{p} ἑκούσιος^{aansn}. **v.15** τάχα^{bo} γάρ^{c} διά^{p} οὗτος^{rdans} χωρίζω^{viap3s} πρός^{p} ὥρα^{nafs} ἵνα^{c} αἰώνιος^{aamsn} αὐτός^{rpams} ἀπέχω^{vipa2s}. **v.16** οὐκέτι^{bo} ὡς^{bo} δοῦλος^{nams} ἀλλά^{c} ὑπέρ^{p} δοῦλος^{nams} ἀδελφός^{nams} ἀγαπητός^{aamsn} μάλιστα^{bo} ἐγώ$^{rpd-s}$ πόσος^{rodns} δέ^{c} μᾶλλον^{bo} σύ$^{rpd-s}$ καί^{c} ἐν^{p} σάρξ^{ndfs} καί^{c} ἐν^{p} κύριος^{ndms}. **v.17** εἰ^{qo} οὖν^{c} ἐγώ$^{rpa-s}$ ἔχω^{vipa2s} κοινωνός^{aamsn} προσλαμβάνω^{vdam2s} αὐτός^{rpams} ὡς^{bo} ἐγώ$^{rpa-s}$. **v.18** εἰ^{qo} δέ^{c} τι-σριανσ ἀδικέω^{viaa3s} σύ$^{rpa-s}$ ἤ^{xo} ὀφείλω^{vipa3s} οὗτος^{rdans} ἐγώ$^{rpd-s}$ ἐλλογέω^{vdpa2s}. **v.19** ἐγώ$^{rpn-s}$ Παῦλος^{nnms} γράφω^{viaa1s} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs} ἐγώ$^{rpn-s}$ ἀποτίνω^{vifa1s} ἵνα^{c} μή^{xo} λέγω^{vspa1s} σύ$^{rpd-s}$ ὅτι^{c} καί^{c} σεαυτοῦ^{rxams} ἐγώ$^{rpd-s}$ προσοφείλω^{vipa2s}. **v.20** ναί^{xo} ἀδελφός^{nvms} ἐγώ$^{rpn-s}$ σύ$^{rpg-s}$ ὀνίναμαι^{voad1s} ἐν^{p} κύριος^{ndms} ἀναπαύω^{vdaa2s} ἐγώ$^{rpg-s}$ ὁ^{danp} σπλάγχνον^{nanp} ἐν^{p} κύριος^{ndms}. **v.21** πείθω^{vpxanms} ὁ^{ddfs} ὑπακοή^{ndfs} σύ$^{rpg-s}$ γράφω^{viaa1s} σύ$^{rpd-s}$ οἶδα^{vpxanms} ὅτι^{c} καί^{c} ὑπέρ^{p} ὅς^{rrans} λέγω^{vipa1s} ποιέω^{vifa2s}. **v.22** ἅμα^{bo} δέ^{c} καί^{c} ἑτοιμάζω^{vdpa2s} ἐγώ$^{rpd-s}$ ξενία^{nafs} ἐλπίζω^{vipa1s} γάρ^{c} ὅτι^{c} διά^{p} ὁ^{dgfp} προσευχή^{ngfp} σύ$^{rpg-p}$ χαρίζομαι^{vifp1s} σύ$^{rpd-p}$. **v.23** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-s}$ Ἐπαφρᾶς^{nnms} ὁ^{dnms} συναιχμάλωτος^{anmsn} ἐγώ$^{rpg-s}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.24** Μᾶρκος^{nnms} Ἀρίσταρχος^{nnms} Δημᾶς^{nnms} Λουκᾶς^{nnms} ὁ^{dnmp} συνεργός^{anmpn} ἐγώ$^{rpg-s}$. **v.25** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg-p}$ ἀμήνth πρός^{p} Φιλήμων^{nams} γράφω^{viap3s} ἀπό^{p} Ῥωμη^{ngfs} διά^{p} Ὀνήσιμος^{ngms} οἰκέτης^{ngms}.

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πα-
2 τράσιν ἐν τοῖς προφήταις. ἐπ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλά-
λησεν ἡμῖν ἐν υἱῷ ὃν ἔθηκεν κληρονόμον πάντων δι᾽ οὗ καὶ τοὺς
3 αἰῶνας, ἐποίησεν. ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ
τῆς ὑποστάσεως αὐτοῦ φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνά-
μεως αὐτοῦ δι᾽ εαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν
4 ημῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. το-
σούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον παρ
5 αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγ-
γέλων Υἱός μου εἶ σύ ἐγὼ σήμερον γεγέννηκά σε καὶ πάλιν Ἐγὼ
6 ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ὅταν δὲ
πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει Καὶ
7 προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. καὶ πρὸς μὲν
τοὺς ἀγγέλους λέγει Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα
8 καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν
Ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ῥάβδος εὐθύ-
9 τητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην
καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέν σε ὁ θεός ὁ θεός σου

---

v.9 ἐάν^{qo} ὁμολογέω^{vspa1p} ὁ^{dafp} ἁμαρτία^{nafp} ἐγώ$^{rpg\text{-}p}$ πιστός^{anmsn} εἰμί^{vipx3s} καί^{c} δίκαιος^{anmsn} ἵνα^{c} ἀφίημι^{vsaa3s} ἐγώ$^{rpd\text{-}p}$ ὁ^{dafp} ἁμαρτία^{nafp} καί^{c} καθαρίζω^{vsaa3s} ἐγώ$^{rpa\text{-}p}$ ἀπό^{p} πᾶς^{agfsn} ἀδικία^{ngfs}. **v.10** ἐάν^{qo} λέγω^{vsaa1p} ὅτι^{c} οὐ^{xo} ἁμαρτάνω^{vixa1p} ψεύστης^{nams} ποιέω^{vipa1p} αὐτός^{rpams} καί^{c} ὁ^{dnms} λόγος^{nnms} αὐτός^{rpgms} οὐ^{xo} εἰμί^{vipx3s} ἐν^{p} ἐγώ$^{rpd\text{-}p}$. **2. v.1** τεκνίον^{nvnp} ἐγώ$^{rpg\text{-}s}$ οὗτος^{rdanp} γράφω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ἵνα^{c} μή^{xo} ἁμαρτάνω^{vsaa2p} καί^{c} ἐάν^{qo} τι-σρινμσ ἁμαρτάνω^{vsaa3s} παράκλητος^{nams} ἔχω^{vipa1p} πρός^{p} ὁ^{dams} πατήρ^{nams} Ἰησοῦς^{nams} Χριστός^{nams} δίκαιος^{aamsn}. **v.2** καί^{c} αὐτός^{rpnms} ἱλασμός^{nnms} εἰμί^{vipx3s} περί^{p} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ἐγώ$^{rpg\text{-}p}$ οὐ^{xo} περί^{p} ὁ^{dgfp} ἡμέτερος^{rsgfp} δέ^{c} μόνος^{bo} ἀλλά^{c} καί^{c} περί^{p} ὅλος^{agmsn} ὁ^{dgms} κόσμος^{ngms}. **v.3** καί^{c} ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vipa1p} ὅτι^{c} γινώσκω^{vixa1p} αὐτός^{rpams} ἐάν^{qo} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} τηρέω^{vspa1p}. **v.4** ὁ^{dnms} λέγω^{vppanms} γινώσκω^{vixa1s} αὐτός^{rpams} καί^{c} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} μή^{xo} τηρέω^{vppanms} ψεύστης^{nnms} εἰμί^{vipx3s} καί^{c} ἐν^{p} οὗτος^{rddns} ὁ^{dnfs} ἀλήθεια^{nnfs} οὐ^{xo} εἰμί^{vipx3s}. **v.5** ὅς^{rrnms} δέ^{c} ἄν^{xo} τηρέω^{vspa3s} αὐτός^{rpgms} ὁ^{dams} λόγος^{nams} ἀληθῶς^{bo} ἐν^{p} οὗτος^{rddns} ὁ^{dnfs} ἀγάπη^{nnfs} ὁ^{dgms} θεός^{ngms} τελειόω^{vixp3s} ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vipa1p} ὅτι^{c} ἐν^{p} αὐτός^{rpdms} εἰμί^{vipx1p}. **v.6** ὁ^{dnms} λέγω^{vppanms} ἐν^{p} αὐτός^{rpdms} μένω^{vnpa} ὀφείλω^{vipa3s} καθώς^{bo} ἐκεῖνος^{rdnms} περιπατέω^{viaa3s} καί^{c} αὐτός^{rpnms} οὕτω^{bo} περιπατέω^{vnpa}. **v.7** ἀδελφός^{nvmp} οὐ^{xo} ἐντολή^{nafs} καινός^{aafsn} γράφω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ἀλλά^{c} ἐντολή^{nafs} παλαιός^{aafsn} ὅς^{rrafs} ἔχω^{viia2p} ἀπό^{p} ἀρχή^{ngfs} ὁ^{dnfs} ἐντολή^{nnfs} ὁ^{dnfs} παλαιός^{anfsn} εἰμί^{vipx3s} ὁ^{dnms} λόγος^{nnms} ὅς^{rrams} ἀκούω^{viaa2p} ἀπό^{p} ἀρχή^{ngfs}. **v.8** πάλιν^{bo} ἐντολή^{nafs} καινός^{aafsn} γράφω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ὅς^{rrans} εἰμί^{vipx3s} ἀληθής^{aansn} ἐν^{p} αὐτός^{rpdms} καί^{c} ἐν^{p} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} ὁ^{dnfs} σκοτία^{nnfs} παράγω^{vipm3s} καί^{c} ὁ^{dnns} φῶς^{nnns} ὁ^{dnns} ἀληθινός^{annsn} ἤδη^{bo} φαίνω^{vipa3s}. **v.9** ὁ^{dnms} λέγω^{vppanms} ἐν^{p} ὁ^{ddns} φῶς^{ndns} εἰμί^{vnpx} καί^{c} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} μισέω^{vppanms} ἐν^{p} ὁ^{ddfs} σκοτία^{ndfs} εἰμί^{vipx3s} ἕως^{c} ἄρτι^{bo}.

ἐν αὐτῷ οὐκ ἔστιν, ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ 11
ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ καὶ οὐκ οἶδεν ποῦ ὑπάγει ὅτι ἡ
σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ. Γράφω ὑμῖν τεκνία 12
ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑ- 13
μῖν πατέρες ὅτι ἐγνώκατε τὸν ἀπ ἀρχῆς γράφω ὑμῖν νεανίσκοι
ὅτι νενικήκατε τὸν πονηρόν γράφω ὑμῖν, παιδία ὅτι ἐγνώκατε
τὸν πατέρα. ἔγραψα ὑμῖν πατέρες ὅτι ἐγνώκατε τὸν ἀπ ἀρχῆς 14
ἔγραψα ὑμῖν νεανίσκοι ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ θεοῦ
ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν. Μὴ ἀγαπᾶτε τὸν 15
κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ ἐάν τις ἀγαπᾷ τὸν κόσμον οὐκ
ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ, ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ 16
ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ
ἀλαζονεία τοῦ βίου οὐκ ἔστιν ἐκ τοῦ πατρὸς ἀλλ ἐκ τοῦ κόσμου
ἐστίν. καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ ὁ δὲ 17
ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα. Παιδία ἐσχάτη 18
ὥρα ἐστίν καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται καὶ
νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν ὅθεν γινώσκομεν ὅτι ἐσχάτη
ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ οὐκ ἦσαν ἐξ ἡμῶν, εἰ γὰρ 19
ἦσαν ἐξ ἡμῶν μεμενήκεισαν ἂν μεθ ἡμῶν, ἀλλ ἵνα φανερωθῶ-
σιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν. καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ 20

---

v.10 ὁ^dnms ἀγαπάω^vppanms ὁ^dams ἀδελφός^nams αὐτός^rpgms ἐν^p ὁ^ddns φῶς^ndns μένω^vipa3s καί^c σκάνδαλον^nnns ἐν^p αὐτός^rpdms οὐ^xo εἰμί^vipx3s. **v.11** ὁ^dnms δέ^c μισέω^vppanms ὁ^dams ἀδελφός^nams αὐτός^rpgms ἐν^p ὁ^ddfs σκοτία^ndfs εἰμί^vipx3s καί^c ἐν^p ὁ^ddfs σκοτία^ndfs περιπατέω^vipa3s καί^c οὐ^xo οἶδα^vixa3s ποῦ^xo ὑπάγω^vipa3s ὅτι^c ὁ^dnfs σκοτία^nnfs τυφλόω^viaa3s ὁ^damp ὀφθαλμός^namp αὐτός^rpgms. **v.12** γράφω^vipa1s σύ^rpd-p τεκνίον^nvnp ὅτι^c ἀφίημι^vixp3p σύ^rpd-p ὁ^dnfp ἁμαρτία^nnfp διά^p ὁ^dans ὄνομα^nans αὐτός^rpgns. **v.13** γράφω^vipa1s σύ^rpd-p πατήρ^nvmp ὅτι^c γινώσκω^vixa2p ὁ^dams ἀπό^p ἀρχή^ngfs γράφω^vipa1s σύ^rpd-p νεανίσκος^nvmp ὅτι^c νικάω^vixa2p ὁ^dams πονηρός^aamsn γράφω^vipa1s σύ^rpd-p παιδίον^nvnp ὅτι^c γινώσκω^vixa2p ὁ^dams πατήρ^nams. **v.14** γράφω^viaa1s σύ^rpd-p πατήρ^nvmp ὅτι^c γινώσκω^vixa2p ὁ^dams ἀπό^p ἀρχή^ngfs γράφω^viaa1s σύ^rpd-p νεανίσκος^nvmp ὅτι^c ἰσχυρός^anmpn εἰμί^vipx2p καί^c ὁ^dnms λόγος^nnms ὁ^dgms θεός^ngms ἐν^p σύ^rpd-p μένω^vipa3s καί^c νικάω^vixa2p ὁ^dams πονηρός^aamsn. **v.15** μή^xo ἀγαπάω^vdpa2p ὁ^dams κόσμος^nams μηδέ^c ὁ^danp ἐν^p ὁ^ddms κόσμος^ndms ἐάν^qo τι-σρινμσ ἀγαπάω^vspa3s ὁ^dams κόσμος^nams οὐ^xo εἰμί^vipx3s ὁ^dnfs ἀγάπη^nnfs ὁ^dgms πατήρ^ngms ἐν^p αὐτός^rpdms. **v.16** ὅτι^c πᾶς^annsn ὁ^dnns ἐν^p ὁ^ddms κόσμος^ndms ὁ^dnfs ἐπιθυμία^nnfs ὁ^dgfs σάρξ^ngfs καί^c ὁ^dnfs ἐπιθυμία^nnfs ὁ^dgmp ὀφθαλμός^ngmp καί^c ὁ^dnfs ἀλαζονεία^nnfs ὁ^dgms βίος^ngms οὐ^xo εἰμί^vipx3s ἐκ^p ὁ^dgms πατήρ^ngms ἀλλά^c ἐκ^p ὁ^dgms κόσμος^ngms εἰμί^vipx3s. **v.17** καί^c ὁ^dnms κόσμος^nnms παράγω^vipm3s καί^c ὁ^dnfs ἐπιθυμία^nnfs αὐτός^rpgms ὁ^dnms δέ^c ποιέω^vppanms ὁ^dans θέλημα^nans ὁ^dgms θεός^ngms μένω^vipa3s εἰς^p ὁ^dams αἰών^nams. **v.18** παιδίον^nvnp ἔσχατος^anfsn ὥρα^nnfs εἰμί^vipx3s καί^c καθώς^bo ἀκούω^viaa2p ὅτι^c ὁ^dnms ἀντίχριστος^nnms ἔρχομαι^vipn3s καί^c νῦν^bo ἀντίχριστος^nnmp πολύς^anmpn γίνομαι^vixa3p ὅθεν^bo γινώσκω^vipa1p ὅτι^c ἔσχατος^anfsn ὥρα^nnfs εἰμί^vipx3s. **v.19** ἐκ^p ἐγώ^rpg-p ἐξέρχομαι^viaa3p ἀλλά^c οὐ^xo εἰμί^viix3p ἐκ^p ἐγώ^rpg-p εἰ^qo γάρ^c εἰμί^viix3p ἐκ^p ἐγώ^rpg-p μένω^viya3p ἄν^xo μετά^p ἐγώ^rpg-p ἀλλά^c ἵνα^c φανερόω^vsap3p ὅτι^c οὐ^xo εἰμί^vipx3p πᾶς^anmpn ἐκ^p ἐγώ^rpg-p.

21 τοῦ ἁγίου καὶ οἴδατε πάντα. οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε
τὴν ἀλήθειαν ἀλλ ὅτι οἴδατε αὐτήν καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς
22 ἀληθείας οὐκ ἔστιν. Τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμε-
νος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός οὗτός ἐστιν ὁ ἀντίχριστος ὁ
23 ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν
24 υἱὸν οὐδὲ τὸν πατέρα ἔχει. ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ ἀρχῆς ἐν
ὑμῖν μενέτω ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ ἀρχῆς ἠκούσατε καὶ ὑμεῖς
25 ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. καὶ αὕτη ἐστὶν ἡ ἐπαγγε-
26 λία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον. Ταῦτα
27 ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. καὶ ὑμεῖς τὸ χρῖσμα
ὃ ἐλάβετε ἀπ αὐτοῦ ἐν ὑμῖν μένει καὶ οὐ χρείαν ἔχετε ἵνα τις
διδάσκῃ ὑμᾶς ἀλλ ὡς τὸ αὐτὸ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάν-
των καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος καὶ καθὼς ἐδίδαξεν
28 ὑμᾶς μενεῖτε ἐν αὐτῷ. Καὶ νῦν τεκνία μένετε ἐν αὐτῷ ἵνα ὅταν
φανερωθῇ ἔχωμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ αὐτοῦ
29 ἐν τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν γινώσκετε
ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

3 ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα θε-
οῦ κληθῶμεν διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι οὐκ
2 ἔγνω αὐτόν. Ἀγαπητοί νῦν τέκνα θεοῦ ἐσμεν καὶ οὔπω ἐφα-
νερώθη τί ἐσόμεθα οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ

---

v.20 καί^{c} σύ$^{rpn\text{-}p}$ χρῖσμα^{nans} ἔχω^{vipa2p} ἀπό^{p} ὁ^{dgms} ἅγιος^{agmsn} καί^{c} οἶδα^{vixa2p} πᾶς^{aanpn}. **v.21** οὐ^{xo} γράφω^{viaa1s} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa2p} ὁ^{dafs} ἀλήθεια^{nafs} ἀλλά^{c} ὅτι^{c} οἶδα^{vixa2p} αὐτός^{rpafs} καί^{c} ὅτι^{c} πᾶς^{annsn} ψεῦδος^{nnns} ἐκ^{p} ὁ^{dgfs} ἀλήθεια^{ngfs} οὐ^{xo} εἰμί^{vipx3s}. **v.22** τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} ψεύστης^{nnms} εἰ^{qo} μή^{xo} ὁ^{dnms} ἀρνέομαι^{vppnnms} ὅτι^{c} Ἰησοῦς^{nnms} οὐ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} ἀντίχριστος^{nnms} ὁ^{dnms} ἀρνέομαι^{vppnnms} ὁ^{dams} πατήρ^{nams} καί^{c} ὁ^{dams} υἱός^{nams}. **v.23** πᾶς^{anmsn} ὁ^{dnms} ἀρνέομαι^{vppnnms} ὁ^{dams} υἱός^{nams} οὐδέ^{bo} ὁ^{dams} πατήρ^{nams} ἔχω^{vipa3s}. **v.24** σύ$^{rpn\text{-}p}$ οὖν^{c} ὅς^{rrans} ἀκούω^{viaa2p} ἀπό^{p} ἀρχή^{ngfs} ἐν^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vdpa3s} ἐάν^{qo} ἐν^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vsaa3s} ὅς^{rrans} ἀπό^{p} ἀρχή^{ngfs} ἀκούω^{viaa2p} καί^{c} σύ$^{rpn\text{-}p}$ ἐν^{p} ὁ^{ddms} υἱός^{ndms} καί^{c} ἐν^{p} ὁ^{ddms} πατήρ^{ndms} μένω^{vifa2p}. **v.25** καί^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἐπαγγελία^{nnfs} ὅς^{rrafs} αὐτός^{rpnms} ἐπαγγέλλομαι^{viad3s} ἐγώ$^{rpd\text{-}p}$ ὁ^{dafs} ζωή^{nafs} ὁ^{dafs} αἰώνιος^{aafsn}. **v.26** οὗτος^{rdanp} γράφω^{viaa1s} σύ$^{rpd\text{-}p}$ περί^{p} ὁ^{dgmp} πλανάω^{vppagmp} σύ$^{rpa\text{-}p}$. **v.27** καί^{c} σύ$^{rpn\text{-}p}$ ὁ^{dnns} χρῖσμα^{nnns} ὅς^{rrnns} λαμβάνω^{viaa2p} ἀπό^{p} αὐτός^{rpgms} ἐν^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vipa3s} καί^{c} οὐ^{xo} χρεία^{nafs} ἔχω^{vipa2p} ἵνα^{c} τι-σρινμσ διδάσκω^{vspa3s} σύ$^{rpa\text{-}p}$ ἀλλά^{c} ὡς^{bo} ὁ^{dnns} αὐτός^{rpnns} χρῖσμα^{nnns} διδάσκω^{vipa3s} σύ$^{rpa\text{-}p}$ περί^{p} πᾶς^{agnpn} καί^{c} ἀληθής^{annsn} εἰμί^{vipx3s} καί^{c} οὐ^{xo} εἰμί^{vipx3s} ψεῦδος^{nnns} καί^{c} καθώς^{bo} διδάσκω^{viaa3s} σύ$^{rpa\text{-}p}$ μένω^{vifa2p} ἐν^{p} αὐτός^{rpdms}. **v.28** καί^{c} νῦν^{bo} τεκνίον^{nvnp} μένω^{vdpa2p} ἐν^{p} αὐτός^{rpdms} ἵνα^{c} ὅταν^{c} φανερόω^{vsap3s} ἔχω^{vspa1p} παρρησία^{nafs} καί^{c} μή^{xo} αἰσχύνω^{vsap1p} ἀπό^{p} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddfs} παρουσία^{ndfs} αὐτός^{rpgms}. **v.29** ἐάν^{qo} οἶδα^{vsxa2p} ὅτι^{c} δίκαιος^{anmsn} εἰμί^{vipx3s} γινώσκω^{vipa2p} ὅτι^{c} πᾶς^{anmsn} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dafs} δικαιοσύνη^{nafs} ἐκ^{p} αὐτός^{rpgms} γεννάω^{vixp3s}. **3. v.1** ὁράω^{vdaa2p} ποταπός^{aafsn} ἀγάπη^{nafs} δίδωμι^{vixa3s} ἐγώ$^{rpd\text{-}p}$ ὁ^{dnms} πατήρ^{nnms} ἵνα^{c} τέκνον^{nanp} θεός^{ngms} καλέω^{vsap1p} διά^{p} οὗτος^{rdans} ὁ^{dnms} κόσμος^{nnms} οὐ^{xo} γινώσκω^{vipa3s} ἐγώ$^{rpa\text{-}p}$ ὅτι^{c} οὐ^{xo} γινώσκω^{viaa3s} αὐτός^{rpams}.

ἐσόμεθα ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν. καὶ πᾶς ὁ ἔχων τὴν 3
ἐλπίδα ταύτην ἐπ αὐτῷ ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐ-
στιν. Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ καὶ ἡ 4
ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα 5
τὰς ἁμαρτίας ἡμῶν ἄρῃ καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. πᾶς ὁ 6
ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει, πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν
αὐτὸν οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία μηδεὶς πλανάτω ὑμᾶς, ὁ 7
ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν καθὼς ἐκεῖνος δίκαιός ἐ-
στιν, ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν ὅτι ἀπ ἀρχῆς 8
ὁ διάβολος ἁμαρτάνει εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα
λύσῃ τὰ ἔργα τοῦ διαβόλου. Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ 9
ἁμαρτίαν οὐ ποιεῖ ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει καὶ οὐ δύ-
ναται ἁμαρτάνειν ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά 10
ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου, πᾶς ὁ μὴ
ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ καὶ ὁ μὴ ἀγαπῶν τὸν
ἀδελφὸν αὐτοῦ. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ 11
ἀρχῆς ἵνα ἀγαπῶμεν ἀλλήλους. οὐ καθὼς Κάϊν ἐκ τοῦ πονη- 12
ροῦ ἦν καὶ ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ, καὶ χάριν τίνος ἔσφαξεν
αὐτόν ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ

---

v.2 ἁγαπητός^{avmpn} νῦν^{bo} τέκνον^{nnnp} θεός^{ngms} εἰμί^{vipx1p} καί^{c} οὔπω^{bo} φανερόω^{viap3s} τίς^{rqnns} εἰμί^{vifx1p} οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ἐάν^{qo} φανερόω^{vsap3s} ὅμοιος^{anmpn} αὐτός^{rpdms} εἰμί^{vifx1p} ὅτι^{c} ὁράω^{vifd1p} αὐτός^{rpams} καθώς^{bo} εἰμί^{vipx3s}. **v.3** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ἔχω^{vppanms} ὁ^{dafs} ἐλπίς^{nafs} οὗτος^{rdafs} ἐπί^{p} αὐτός^{rpdms} ἁγνίζω^{vipa3s} ἑαυτοῦ^{rxams} καθώς^{bo} ἐκεῖνος^{rdnms} ἁγνός^{anmsn} εἰμί^{vipx3s}. **v.4** πᾶς^{anmsn} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dafs} ἁμαρτία^{nafs} καί^{c} ὁ^{dafs} ἀνομία^{nafs} ποιέω^{vipa3s} καί^{c} ὁ^{dnfs} ἁμαρτία^{nnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀνομία^{nnfs}. **v.5** καί^{c} οἶδα^{vixa2p} ὅτι^{c} ἐκεῖνος^{rdnms} φανερόω^{viap3s} ἵνα^{c} ὁ^{dafp} ἁμαρτία^{nafp} ἐγώ$^{rpg-p}$ αἴρω^{vsaa3s} καί^{c} ἁμαρτία^{nnfs} ἐν^{p} αὐτός^{rpdms} οὐ^{xo} εἰμί^{vipx3s}. **v.6** πᾶς^{anmsn} ὁ^{dnms} ἐν^{p} αὐτός^{rpdms} μένω^{vppanms} οὐ^{xo} ἁμαρτάνω^{vipa3s} πᾶς^{anmsn} ὁ^{dnms} ἁμαρτάνω^{vppanms} οὐ^{xo} ὁράω^{vixa3s} αὐτός^{rpams} οὐδέ^{bo} γινώσκω^{vixa3s} αὐτός^{rpams}. **v.7** τεκνίον^{nvnp} μηδείς^{anmsn} πλανάω^{vdpa3s} σύ$^{rpa-p}$ ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dafs} δικαιοσύνη^{nafs} δίκαιος^{anmsn} εἰμί^{vipx3s} καθώς^{bo} ἐκεῖνος^{rdnms} δίκαιος^{anmsn} εἰμί^{vipx3s}. **v.8** ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dafs} ἁμαρτία^{nafs} ἐκ^{p} ὁ^{dgms} διάβολος^{agmsn} εἰμί^{vipx3s} ὅτι^{c} ἀπό^{p} ἀρχή^{ngfs} ὁ^{dnms} διάβολος^{anmsn} ἁμαρτάνω^{vipa3s} εἰς^{p} οὗτος^{rdans} φανερόω^{viap3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} ἵνα^{c} λύω^{vsaa3s} ὁ^{danp} ἔργον^{nanp} ὁ^{dgms} διάβολος^{agmsn}. **v.9** πᾶς^{anmsn} ὁ^{dnms} γεννάω^{vpxpnms} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} ἁμαρτία^{nafs} οὐ^{xo} ποιέω^{vipa3s} ὅτι^{c} σπέρμα^{nnns} αὐτός^{rpgms} ἐν^{p} αὐτός^{rpdms} μένω^{vipa3s} καί^{c} οὐ^{xo} δύναμαι^{vipn3s} ἁμαρτάνω^{vnpa} ὅτι^{c} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} γεννάω^{vixp3s}. **v.10** ἐν^{p} οὗτος^{rddns} φανερός^{annpn} εἰμί^{vipx3s} ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgms} διάβολος^{agmsn} πᾶς^{anmsn} ὁ^{dnms} μή^{xo} ποιέω^{vppanms} δικαιοσύνη^{nafs} οὐ^{xo} εἰμί^{vipx3s} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dnms} μή^{xo} ἀγαπάω^{vppanms} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms}. **v.11** ὅτι^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀγγελία^{nnfs} ὅς^{rrafs} ἀκούω^{viaa2p} ἀπό^{p} ἀρχή^{ngfs} ἵνα^{c} ἀγαπάω^{vspa1p} ἀλλήλων^{reamp}.

13 δίκαια. μὴ θαυμάζετε ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.
14 ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν
ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς, ὁ μὴ ἀγαπῶν τὸν ἀδελφόν μένει
15 ἐν τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος
ἐστίν καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον
16 ἐν αὐτῷ μένουσαν. ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην ὅτι ἐκεῖ-
νος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν, καὶ ἡμεῖς ὀφείλομεν
17 ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. ὃς δ ἂν ἔχῃ τὸν βίον
τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ
κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ αὐτοῦ πῶς ἡ ἀγάπη τοῦ θεοῦ
18 μένει ἐν αὐτῷ. Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ
19 ἀλλὰ ἔργῳ καὶ ἀληθείᾳ. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς
ἀληθείας ἐσμέν καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡ-
20 μῶν. ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία ὅτι μείζων ἐστὶν ὁ
21 θεὸς τῆς καρδίας ἡμῶν καὶ γινώσκει πάντα. Ἀγαπητοί ἐὰν ἡ
καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν παρρησίαν ἔχομεν πρὸς
22 τὸν θεόν. καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν παρ᾽ αὐτοῦ ὅτι τὰς ἐν-
τολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.
23 καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ
υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔ-

---

v.12 οὐ^xo καθώς^bo Κάϊν^tp ἐκ^p ὁ^dgms πονηρός^agmsn εἰμί^viix3s καί^c σφάζω^viaa3s ὁ^dams ἀδελφός^nams αὐτός^rpgms καί^c χάριν^bo τίς^rqgns σφάζω^viaa3s αὐτός^rpams ὅτι^c ὁ^dnnp ἔργον^nnnp αὐτός^rpgms πονηρός^annpn εἰμί^viix3s ὁ^dnnp δέ^c ὁ^dgms ἀδελφός^ngms αὐτός^rpgms δίκαιος^annpn. **v.13** μή^xo θαυμάζω^vdpa2p ἀδελφός^nvmp ἐγώ^rpg-s εἰ^qo μισέω^vipa3s σύ^rpa-p ὁ^dnms κόσμος^nnms. **v.14** ἐγώ^rpn-p οἶδα^vixa1p ὅτι^c μεταβαίνω^vixa1p ἐκ^p ὁ^dgms θάνατος^ngms εἰς^p ὁ^dafs ζωή^nafs ὅτι^c ἀγαπάω^vipa1p ὁ^damp ἀδελφός^namp ὁ^dnms μή^xo ἀγαπάω^vppanms ὁ^dams ἀδελφός^nams μένω^vipa3s ἐν^p ὁ^ddms θάνατος^ndms. **v.15** πᾶς^anmsn ὁ^dnms μισέω^vppanms ὁ^dams ἀδελφός^nams αὐτός^rpgms ἀνθρωποκτόνος^anmsn εἰμί^vipx3s καί^c οἶδα^vixa2p ὅτι^c πᾶς^anmsn ἀνθρωποκτόνος^anmsn οὐ^xo ἔχω^vipa3s ζωή^nafs αἰώνιος^aafsn ἐν^p αὐτός^rpdms μένω^vppaafs. **v.16** ἐν^p οὗτος^rddns γινώσκω^vixa1p ὁ^dafs ἀγάπη^nafs ὅτι^c ἐκεῖνος^rdnms ὑπέρ^p ἐγώ^rpg-p ὁ^dafs ψυχή^nafs αὐτός^rpgms τίθημι^viaa3s καί^c ἐγώ^rpn-p ὀφείλω^vipa1p ὑπέρ^p ὁ^dgmp ἀδελφός^ngmp ὁ^dafp ψυχή^nafp τίθημι^vnpa. **v.17** ὅς^rrnms δέ^c ἄν^xo ἔχω^vspa3s ὁ^dams βίος^nams ὁ^dgms κόσμος^ngms καί^c θεωρέω^vspa3s ὁ^dams ἀδελφός^nams αὐτός^rpgms χρεία^nafs ἔχω^vppaams καί^c κλείω^vsaa3s ὁ^danp σπλάγχνον^nanp αὐτός^rpgms ἀπό^p αὐτός^rpgms πῶς^bo ὁ^dnfs ἀγάπη^nnfs ὁ^dgms θεός^ngms μένω^vipa3s ἐν^p αὐτός^rpdms. **v.18** τεκνίον^nvnp ἐγώ^rpg-s μή^xo ἀγαπάω^vspa1p λόγος^ndms μηδέ^c γλῶσσα^ndfs ἀλλά^c ἔργον^ndns καί^c ἀλήθεια^ndfs. **v.19** καί^c ἐν^p οὗτος^rddns γινώσκω^vipa1p ὅτι^c ἐκ^p ὁ^dgfs ἀλήθεια^ngfs εἰμί^vipx1p καί^c ἔμπροσθεν^p αὐτός^rpgms πείθω^vifa1p ὁ^dafp καρδία^nafp ἐγώ^rpg-p. **v.20** ὅτι^c ἐάν^qo καταγινώσκω^vspa3s ἐγώ^rpg-p ὁ^dnfs καρδία^nnfs ὅτι^c μέγας^anmsc εἰμί^vipx3s ὁ^dnms θεός^nnms ὁ^dgfs καρδία^ngfs ἐγώ^rpg-p καί^c γινώσκω^vipa3s πᾶς^aanpn. **v.21** ἀγαπητός^avmpn ἐάν^qo ὁ^dnfs καρδία^nnfs ἐγώ^rpg-p μή^xo καταγινώσκω^vspa3s ἐγώ^rpg-p παρρησία^nafs ἔχω^vipa1p πρός^p ὁ^dams θεός^nams. **v.22** καί^c ὅς^rrans ἐάν^qo αἰτέω^vspa1p λαμβάνω^vipa1p παρά^p αὐτός^rpgms ὅτι^c ὁ^dafp ἐντολή^nafp αὐτός^rpgms τηρέω^vipa1p καί^c ὁ^danp ἀρεστός^aanpn ἐνώπιον^bo αὐτός^rpgms ποιέω^vipa1p.

δωκεν ἐντολὴν ἡμῖν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ 24
μένει καὶ αὐτὸς ἐν αὐτῷ, καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν
ἡμῖν ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Ἀγαπητοί μὴ παντὶ πνεύματι πιστεύετε ἀλλὰ δοκιμάζετε τὰ **4**
πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν ὅτι πολλοὶ ψευδοπροφῆται ἐξε- 2
ληλύθασιν εἰς τὸν κόσμον. ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ
θεοῦ, πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυ- 3
θότα ἐκ τοῦ θεοῦ ἐστιν. καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν
Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ οὐκ ἔστιν, καὶ
τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου ὃ ἀκηκόατε ὅτι ἔρχεται καὶ νῦν
ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε τεκνία καὶ 4
νενικήκατε αὐτούς ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ.
αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν 5
καὶ ὁ κόσμος αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν, ὁ γι- 6
νώσκων τὸν θεὸν ἀκούει ἡμῶν ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ
ἀκούει ἡμῶν ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας
καὶ τὸ πνεῦμα τῆς πλάνης. Ἀγαπητοί ἀγαπῶμεν ἀλλήλους 7
ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ
γεγέννηται καὶ γινώσκει τὸν θεόν. ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν 8

---

v.23 καίᶜ οὗτοςʳᵈⁿᶠˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿᶠˢ ἐντολήⁿⁿᶠˢ αὐτόςʳᵖᵍᵐˢ ἵναᶜ πιστεύωᵛˢᵃᵃ¹ᵖ ὁᵈᵈⁿˢ ὄνομαⁿᵈⁿˢ ὁᵈᵍᵐˢ υἱόςⁿᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ Χριστόςⁿᵍᵐˢ καίᶜ ἀγαπάωᵛˢᵖᵃ¹ᵖ ἀλλήλωνʳᵉᵃᵐᵖ καθώςᵇᵒ δίδωμιᵛⁱᵃᵃ³ˢ ἐντολήⁿᵃᶠˢ ἐγώʳᵖᵈ⁻ᵖ. **v.24** καίᶜ ὁᵈⁿᵐˢ τηρέωᵛᵖᵖᵃⁿᵐˢ ὁᵈᵃᶠᵖ ἐντολήⁿᵃᶠᵖ αὐτόςʳᵖᵍᵐˢ ἐνᵖ αὐτόςʳᵖᵈᵐˢ μένωᵛⁱᵖᵃ³ˢ καίᶜ αὐτόςʳᵖⁿᵐˢ ἐνᵖ αὐτόςʳᵖᵈᵐˢ καίᶜ ἐνᵖ οὗτοςʳᵈᵈⁿˢ γινώσκωᵛⁱᵖᵃ¹ᵖ ὅτιᶜ μένωᵛⁱᵖᵃ³ˢ ἐνᵖ ἐγώʳᵖᵈ⁻ᵖ ἐκᵖ ὁᵈᵍⁿˢ πνεῦμαⁿᵍⁿˢ ὅςʳʳᵍⁿˢ ἐγώʳᵖᵈ⁻ᵖ δίδωμιᵛⁱᵃᵃ³ˢ. **4. v.1** ἀγαπητόςᵃᵛᵐᵖⁿ μήˣᵒ πᾶςᵃᵈⁿˢⁿ πνεῦμαⁿᵈⁿˢ πιστεύωᵛᵈᵖᵃ²ᵖ ἀλλάᶜ δοκιμάζωᵛᵈᵖᵃ²ᵖ ὁᵈᵃⁿᵖ πνεῦμαⁿᵃⁿᵖ εἰᵠᵒ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ ὅτιᶜ πολύςᵃⁿᵐᵖⁿ ψευδοπροφήτηςⁿⁿᵐᵖ ἐξέρχομαιᵛⁱˣᵃ³ᵖ εἰςᵖ ὁᵈᵃᵐˢ κόσμοςⁿᵃᵐˢ. **v.2** ἐνᵖ οὗτοςʳᵈᵈⁿˢ γινώσκωᵛⁱᵖᵃ²ᵖ ὁᵈᵃⁿˢ πνεῦμαⁿᵃⁿˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ πᾶςᵃⁿⁿˢⁿ πνεῦμαⁿⁿⁿˢ ὅςʳʳⁿˢ ὁμολογέωᵛⁱᵖᵃ³ˢ Ἰησοῦςⁿᵃᵐˢ Χριστόςⁿᵃᵐˢ ἐνᵖ σάρξⁿᵈᶠˢ ἔρχομαιᵛᵖˣᵃᵃᵐˢ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ. **v.3** καίᶜ πᾶςᵃⁿⁿˢⁿ πνεῦμαⁿⁿⁿˢ ὅςʳʳⁿˢ μήˣᵒ ὁμολογέωᵛⁱᵖᵃ³ˢ ὁᵈᵃᵐˢ Ἰησοῦςⁿᵃᵐˢ Χριστόςⁿᵃᵐˢ ἐνᵖ σάρξⁿᵈᶠˢ ἔρχομαιᵛᵖˣᵃᵃᵐˢ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ οὐˣᵒ εἰμίᵛⁱᵖˣ³ˢ καίᶜ οὗτοςʳᵈⁿⁿˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿⁿˢ ὁᵈᵍᵐˢ ἀντίχριστοςⁿᵍᵐˢ ὅςʳʳⁿˢ ἀκούωᵛⁱˣᵃ²ᵖ ὅτιᶜ ἔρχομαιᵛⁱᵖⁿ³ˢ καίᶜ νῦνᵇᵒ ἐνᵖ ὁᵈᵈᵐˢ κόσμοςⁿᵈᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ ἤδηᵇᵒ. **v.4** σύʳᵖⁿ⁻ᵖ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ²ᵖ τεκνίονⁿᵛⁿᵖ καίᶜ νικάωᵛⁱˣᵃ²ᵖ αὐτόςʳᵖᵃᵐᵖ ὅτιᶜ μέγαςᵃⁿᵐˢᶜ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿᵐˢ ἐνᵖ σύʳᵖᵈ⁻ᵖ ᾗˣᵒ ὁᵈⁿᵐˢ ἐνᵖ ὁᵈᵈᵐˢ κόσμοςⁿᵈᵐˢ. **v.5** αὐτόςʳᵖⁿᵐᵖ ἐκᵖ ὁᵈᵍᵐˢ κόσμοςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ³ᵖ διάᵖ οὗτοςʳᵈᵃⁿˢ ἐκᵖ ὁᵈᵍᵐˢ κόσμοςⁿᵍᵐˢ λαλέωᵛⁱᵖᵃ³ᵖ καίᶜ ὁᵈⁿᵐˢ κόσμοςⁿⁿⁿˢ αὐτόςʳᵖᵍᵐᵖ ἀκούωᵛⁱᵖᵃ³ˢ. **v.6** ἐγώʳᵖⁿ⁻ᵖ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ¹ᵖ ὁᵈⁿᵐˢ γινώσκωᵛᵖᵖᵃⁿᵐˢ ὁᵈᵃᵐˢ θεόςⁿᵃᵐˢ ἀκούωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵍ⁻ᵖ ὅςʳʳⁿᵐˢ οὐˣᵒ εἰμίᵛⁱᵖˣ³ˢ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ οὐˣᵒ ἀκούωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵍ⁻ᵖ ἐκᵖ οὗτοςʳᵈᵍⁿˢ γινώσκωᵛⁱᵖᵃ¹ᵖ ὁᵈᵃⁿˢ πνεῦμαⁿᵃⁿˢ ὁᵈᵍᶠˢ ἀλήθειαⁿᵍᶠˢ καίᶜ ὁᵈᵃⁿˢ πνεῦμαⁿᵃⁿˢ ὁᵈᵍᶠˢ πλάνηⁿᵍᶠˢ. **v.7** ἀγαπητόςᵃᵛᵐᵖⁿ ἀγαπάωᵛˢᵖᵃ¹ᵖ ἀλλήλωνʳᵉᵃᵐᵖ ὅτιᶜ ὁᵈⁿᶠˢ ἀγάπηⁿⁿᶠˢ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ καίᶜ πᾶςᵃⁿᵐˢⁿ ὁᵈⁿᵐˢ ἀγαπάωᵛᵖᵖᵃⁿᵐˢ ἐκᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ γεννάωᵛⁱˣᵖ³ˢ καίᶜ γινώσκωᵛⁱᵖᵃ³ˢ ὁᵈᵃᵐˢ θεόςⁿᵃᵐˢ.

9 θεόν ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη
τοῦ θεοῦ ἐν ἡμῖν ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν
10 ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι᾽ αὐτοῦ. ἐν τούτῳ ἐστὶν
ἡ ἀγάπη οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν ἀλλ ὅτι αὐτὸς ἠ-
γάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν
11 ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί εἰ οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς
12 καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. θεὸν οὐδεὶς πώποτε
τεθέαται ἐὰν ἀγαπῶμεν ἀλλήλους ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀ-
13 γάπη αὐτοῦ τετελειωμένη ἐστιν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν
ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν ὅτι ἐκ τοῦ πνεύματος
14 αὐτοῦ δέδωκεν ἡμῖν. καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν
15 ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἂν
ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ὁ θεὸς ἐν αὐτῷ
16 μένει καὶ αὐτὸς ἐν τῷ θεῷ. καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπι-
στεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν Ὁ θεὸς ἀγάπη
ἐστίν καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν
17 αὐτῷ. ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ ἡμῶν ἵνα παρρησίαν
ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ
18 ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ
ἀλλ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον ὅτι ὁ φόβος κόλασιν

---

v.8 ὁ^{dnms} μή^{xo} ἀγαπάω^{vppanms} οὐ^{xo} γινώσκω^{viaa3s} ὁ^{dams} θεός^{nams} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} ἀγάπη^{nnfs} εἰμί^{vipx3s}. **v.9** ἐν^{p} οὗτος^{rddns} φανερόω^{viap3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} ἐγώ$^{rpd-p}$ ὅτι^{c} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ὁ^{dams} μονογενής^{aamsn} ἀποστέλλω^{vixa3s} ὁ^{dnms} θεός^{nnms} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἵνα^{c} ζάω^{vsaa1p} διά^{p} αὐτός^{rpgms}. **v.10** ἐν^{p} οὗτος^{rddns} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} οὐ^{xo} ὅτι^{c} ἐγώ$^{rpn-p}$ ἀγαπάω^{viaa1p} ὁ^{dams} θεός^{nams} ἀλλά^{c} ὅτι^{c} αὐτός^{rpnms} ἀγαπάω^{viaa3s} ἐγώ$^{rpa-p}$ καί^{c} ἀποστέλλω^{viaa3s} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ἱλασμός^{nams} περί^{p} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ἐγώ$^{rpg-p}$. **v.11** ἀγαπητός^{avmpn} εἰ^{qo} οὕτω^{bo} ὁ^{dnms} θεός^{nnms} ἀγαπάω^{viaa3s} ἐγώ$^{rpa-p}$ καί^{c} ἐγώ$^{rpn-p}$ ὀφείλω^{vipa1p} ἀλλήλων^{reamp} ἀγαπάω^{vnpa}. **v.12** θεός^{nams} οὐδείς^{anfsn} πώποτε^{bo} θεάομαι^{vixn3s} ἐάν^{qo} ἀγαπάω^{vspa1p} ἀλλήλων^{reamp} ὁ^{dnms} θεός^{nnms} ἐν^{p} ἐγώ$^{rpd-p}$ μένω^{vipa3s} καί^{c} ὁ^{dnfs} ἀγάπη^{nnfs} αὐτός^{rpgms} τελειόω^{vpxpnfs} εἰμί^{vipx3s} ἐν^{p} ἐγώ$^{rpd-p}$. **v.13** ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vipa1p} ὅτι^{c} ἐν^{p} αὐτός^{rpdms} μένω^{vipa1p} καί^{c} αὐτός^{rpnms} ἐν^{p} ἐγώ$^{rpd-p}$ ὅτι^{c} ἐκ^{p} ὁ^{dgns} πνεῦμα^{ngns} αὐτός^{rpgms} δίδωμι^{vixa3s} ἐγώ$^{rpd-p}$. **v.14** καί^{c} ἐγώ$^{rpn-p}$ θεάομαι^{vixn1p} καί^{c} μαρτυρέω^{vipa1p} ὅτι^{c} ὁ^{dnms} πατήρ^{nnms} ἀποστέλλω^{vixa3s} ὁ^{dams} υἱός^{nams} σωτήρ^{nams} ὁ^{dgms} κόσμος^{ngms}. **v.15** ὅς^{rrnms} ἄν^{xo} ὁμολογέω^{vsaa3s} ὅτι^{c} Ἰησοῦς^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnms} θεός^{nnms} ἐν^{p} αὐτός^{rpdms} μένω^{vipa3s} καί^{c} αὐτός^{rpnms} ἐν^{p} ὁ^{ddms} θεός^{ndms}. **v.16** καί^{c} ἐγώ$^{rpn-p}$ γινώσκω^{vixa1p} καί^{c} πιστεύω^{vixa1p} ὁ^{dafs} ἀγάπη^{nafs} ὅς^{rrafs} ἔχω^{vipa3s} ὁ^{dnms} θεός^{nnms} ἐν^{p} ἐγώ$^{rpd-p}$ ὁ^{dnms} θεός^{nnms} ἀγάπη^{nnfs} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnms} μένω^{vppanms} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} ἐν^{p} ὁ^{ddms} θεός^{ndms} μένω^{vipa3s} καί^{c} ὁ^{dnms} θεός^{nnms} ἐν^{p} αὐτός^{rpdms}. **v.17** ἐν^{p} οὗτος^{rddns} τελειόω^{vixp3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} μετά^{p} ἐγώ$^{rpg-p}$ ἵνα^{c} παρρησία^{nafs} ἔχω^{vspa1p} ἐν^{p} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{dgfs} κρίσις^{ngfs} ὅτι^{c} καθώς^{bo} ἐκεῖνος^{rdnms} εἰμί^{vipx3s} καί^{c} ἐγώ$^{rpn-p}$ εἰμί^{vipx1p} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} οὗτος^{rddms}.

ἔχει ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. ἡμεῖς ἀγα- 19
πῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. ἐάν τις εἴπῃ 20
ὅτι Ἀγαπῶ τὸν θεόν καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ ψεύστης ἐστίν,
ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν τὸν θεὸν ὃν
οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾶν. καὶ ταύτην τὴν ἐντολὴν ἔ- 21
χομεν ἀπ αὐτοῦ ἵνα ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν
αὐτοῦ.

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ θεοῦ **5**
γεγέννηται καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν
γεγεννημένον ἐξ αὐτοῦ. ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ 2
τέκνα τοῦ θεοῦ ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ
τηρῶμεν, αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ ἵνα τὰς ἐντολὰς 3
αὐτοῦ τηρῶμεν καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. ὅτι 4
πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον, καὶ αὕτη
ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον ἡ πίστις ἡμῶν. τίς ἐστιν 5
ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς
τοῦ θεοῦ. Οὗτός ἐστιν ὁ ἐλθὼν δι᾽ ὕδατος καὶ αἵματος Ἰησοῦς 6
ὁ Χριστός οὐκ ἐν τῷ ὕδατι μόνον ἀλλ ἐν τῷ ὕδατι καὶ τῷ αἵματι,
καὶ τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλή-
θεια. ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες εν τῷ οὐρανῷ, ὁ πατήρ, 7

---

v.18 φόβος^{nnms} οὐ^{xo} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} ἀλλά^{c} ὁ^{dnfs} τέλειος^{anfsn} ἀγάπη^{nnfs} ἔξω^{bo} βάλλω^{vipa3s} ὁ^{dams} φόβος^{nams} ὅτι^{c} ὁ^{dnms} φόβος^{nnms} κόλασις^{nafs} ἔχω^{vipa3s} ὁ^{dnms} δέ^{c} φοβέομαι^{vppnnms} οὐ^{xo} τελειόω^{vixp3s} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs}. **v.19** ἐγώ$^{rpn-p}$ ἀγαπάω^{vipa1p} αὐτός^{rpams} ὅτι^{c} αὐτός^{rpnms} πρῶτος^{anmsn} ἀγαπάω^{viaa3s} ἐγώ$^{rpa-p}$. **v.20** ἐάν^{qo} τι-σρινμσ λέγω^{vsaa3s} ὅτι^{c} ἀγαπάω^{vipa1s} ὁ^{dams} θεός^{nams} καί^{c} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} μισέω^{vspa3s} ψεύστης^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} γάρ^{c} μή^{xo} ἀγαπάω^{vppanms} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} ὅς^{rrams} ὁράω^{vixa3s} ὁ^{dams} θεός^{nams} ὅς^{rrams} οὐ^{xo} ὁράω^{vixa3s} πῶς^{bo} δύναμαι^{vipn3s} ἀγαπάω^{vnpa}. **v.21** καί^{c} οὗτος^{rdafs} ὁ^{dafs} ἐντολή^{nafs} ἔχω^{vipa1p} ἀπό^{p} αὐτός^{rpgms} ἵνα^{c} ὁ^{dnms} ἀγαπάω^{vppanms} ὁ^{dams} θεός^{nams} ἀγαπάω^{vspa3s} καί^{c} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms}. **5. v.1** πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} ὅτι^{c} Ἰησοῦς^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} γεννάω^{vixp3s} καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ἀγαπάω^{vppanms} ὁ^{dams} γεννάω^{vpaaams} ἀγαπάω^{vipa3s} καί^{c} ὁ^{dams} γεννάω^{vpxpams} ἐκ^{p} αὐτός^{rpgms}. **v.2** ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vipa1p} ὅτι^{c} ἀγαπάω^{vipa1p} ὁ^{danp} τέκνον^{nanp} ὁ^{dgms} θεός^{ngms} ὅταν^{c} ὁ^{dams} θεός^{nams} ἀγαπάω^{vipa1p} καί^{c} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} τηρέω^{vspa1p}. **v.3** οὗτος^{rdnfs} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἵνα^{c} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} τηρέω^{vspa1p} καί^{c} ὁ^{dnfp} ἐντολή^{nnfp} αὐτός^{rpgms} βαρύς^{anfpn} οὐ^{xo} εἰμί^{vipx3p}. **v.4** ὅτι^{c} πᾶς^{annsn} ὁ^{dnns} γεννάω^{vpxpnns} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} νικάω^{vipa3s} ὁ^{dams} κόσμος^{nams} καί^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} νίκη^{nnfs} ὁ^{dnfs} νικάω^{vpaanfs} ὁ^{dams} κόσμος^{nams} ὁ^{dnfs} πίστις^{nnfs} ἐγώ$^{rpg-p}$. **v.5** τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} νικάω^{vppanms} ὁ^{dams} κόσμος^{nams} εἰ^{qo} μή^{xo} ὁ^{dnms} πιστεύω^{vppanms} ὅτι^{c} Ἰησοῦς^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.6** οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} ἔρχομαι^{vpaanms} διά^{p} ὕδωρ^{ngns} καί^{c} αἷμα^{ngns} Ἰησοῦς^{nnms} ὁ^{dnms} Χριστός^{nnms} οὐ^{xo} ἐν^{p} ὁ^{ddns} ὕδωρ^{ndns} μόνος^{bo} ἀλλά^{c} ἐν^{p} ὁ^{ddns} ὕδωρ^{ndns} καί^{c} ὁ^{ddns} αἷμα^{ndns} καί^{c} ὁ^{dnns} πνεῦμα^{nnns} εἰμί^{vipx3s} ὁ^{dnns} μαρτυρέω^{vppanns} ὅτι^{c} ὁ^{dnns} πνεῦμα^{nnns} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀλήθεια^{nnfs}.

8 ὁ λόγος, καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν. καὶ
τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμα καὶ τὸ ὕδωρ
9 καὶ τὸ αἷμα καὶ οἱ τρεῖς εἰς τὸ ἓν εἰσίν. εἰ τὴν μαρτυρίαν τῶν
ἀνθρώπων λαμβάνομεν ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι
αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ἣν μεμαρτύρηκεν περὶ τοῦ
10 υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυ-
ρίαν ἐν ἑαυτῷ ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν
ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς
11 περὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ αὕτη ἐστὶν ἡ μαρτυρία ὅτι ζωὴν αἰώ-
νιον ἔδωκεν ἡμῖν ὁ θεός καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.
12 ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν, ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ
13 τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ
ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον καὶ
14 ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ αὕτη ἐστὶν
ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν ὅτι ἐάν τι αἰτώμεθα κατὰ
15 τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν. καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει
ἡμῶν ὃ ἂν αἰτώμεθα οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκα-
16 μεν παρ᾽ αὐτοῦ. Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα
ἁμαρτίαν μὴ πρὸς θάνατον αἰτήσει καὶ δώσει αὐτῷ ζωήν τοῖς ἁ-
μαρτάνουσιν μὴ πρὸς θάνατον ἔστιν ἁμαρτία πρὸς θάνατον, οὐ

---

v.7 ὅτι^{c} τρεῖς^{nnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} μαρτυρέω^{vppanmp} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms} ὁ^{dnms} πατήρ^{nnms} ὁ^{dnms} λόγος^{nnms} καί^{c} ὁ^{dnns} ἅγιος^{annsn} πνεῦμα^{nnns} καί^{c} οὗτος^{rdnmp} ὁ^{dnmp} τρεῖς^{nnmp} εἷς^{nnns} εἰμί^{vipx3p}. **v.8** καί^{c} τρεῖς^{nnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} μαρτυρέω^{vppanmp} εἷς^{p} ὁ^{ddfs} γῆ^{ndfs} ὁ^{dnns} πνεῦμα^{nnns} καί^{c} ὁ^{dnns} ὕδωρ^{nnns} καί^{c} ὁ^{dnns} αἷμα^{nnns} καί^{c} ὁ^{dnmp} τρεῖς^{nnmp} εἰς^{p} ὁ^{dans} εἷς^{nans} εἰμί^{vipx3p}. **v.9** εἰ^{qo} ὁ^{dafs} μαρτυρία^{nafs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} λαμβάνω^{vipa1p} ὁ^{dnfs} μαρτυρία^{nnfs} ὁ^{dgms} θεός^{ngms} μέγας^{anfsc} εἰμί^{vipx3s} ὅτι^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} μαρτυρία^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrafs} μαρτυρέω^{vixa3s} περί^{p} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms}. **v.10** ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} θεός^{ngms} ἔχω^{vipa3s} ὁ^{dafs} μαρτυρία^{nafs} ἐν^{p} ἑαυτοῦ^{rxdms} ὁ^{dnms} μή^{xo} πιστεύω^{vppanms} ὁ^{ddms} θεός^{ndms} ψεύστης^{nams} ποιέω^{vixa3s} αὐτός^{rpams} ὅτι^{c} οὐ^{xo} πιστεύω^{vixa3s} εἰς^{p} ὁ^{dafs} μαρτυρία^{nafs} ὅς^{rrafs} μαρτυρέω^{vixa3s} ὁ^{dnms} θεός^{nnms} περί^{p} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms}. **v.11** καί^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} μαρτυρία^{nnfs} ὅτι^{c} ζωή^{nafs} αἰώνιος^{aafsn} δίδωμι^{viaa3s} ἐγώ$^{rpd-p}$ ὁ^{dnms} θεός^{nnms} καί^{c} οὗτος^{rdnfs} ὁ^{dnfs} ζωή^{nnfs} ἐν^{p} ὁ^{ddms} υἱός^{ndms} αὐτός^{rpgms} εἰμί^{vipx3s}. **v.12** ὁ^{dnms} ἔχω^{vppanms} ὁ^{dams} υἱός^{nams} ἔχω^{vipa3s} ὁ^{dafs} ζωή^{nafs} ὁ^{dnms} μή^{xo} ἔχω^{vppanms} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} θεός^{ngms} ὁ^{dafs} ζωή^{nafs} οὐ^{xo} ἔχω^{vipa3s}. **v.13** οὗτος^{rdanp} γράφω^{viaa1s} σύ$^{rpd-p}$ ὁ^{ddmp} πιστεύω^{vppadmp} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} θεός^{ngms} ἵνα^{c} οἶδα^{vsxa2p} ὅτι^{c} ζωή^{nafs} ἔχω^{vipa2p} αἰώνιος^{aafsn} καί^{c} ἵνα^{c} πιστεύω^{vspa2p} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} θεός^{ngms}. **v.14** καί^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} παρρησία^{nnfs} ὅς^{rrafs} ἔχω^{vipa1p} πρός^{p} αὐτός^{rpams} ὅτι^{c} ἐάν^{qo} τι-σριανσ αἰτέω^{vspm1p} κατά^{p} ὁ^{dans} θέλημα^{nans} αὐτός^{rpgms} ἀκούω^{vipa3s} ἐγώ$^{rpg-p}$. **v.15** καί^{c} ἐάν^{qo} οἶδα^{vixa1p} ὅτι^{c} ἀκούω^{vipa3s} ἐγώ$^{rpg-p}$ ὅς^{rrans} ἄν^{xo} αἰτέω^{vspm1p} οἶδα^{vixa1p} ὅτι^{c} ἔχω^{vipa1p} ὁ^{danp} αἴτημα^{nanp} ὅς^{rranp} αἰτέω^{vixa1p} παρά^{p} αὐτός^{rpgms}.

περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία ἁμαρτία ἐστίν 17
καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν ὅτι πᾶς ὁ γε- 18
γεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει ἀλλ ὁ γεννηθεὶς ἐκ τοῦ
θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. οἴδαμεν 19
ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.
οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν 20
ἵνα γινώσκωμεν τὸν ἀληθινόν καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ ἐν τῷ
υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ἡ ζωὴ
αἰώνιος. Τεκνία φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων ἀμήν. 21

---

v.16 ἐάν^{qo} τι-σρινμσ ὁράω^{vsaa3s} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} ἁμαρτάνω^{vppaams} ἁμαρτία^{nafs} μή^{xo} πρός^{p} θάνατος^{nams} αἰτέω^{vifa3s} καί^{c} δίδωμι^{vifa3s} αὐτός^{rpdms} ζωή^{nafs} ὁ^{ddmp} ἁμαρτάνω^{vppadmp} μή^{xo} πρός^{p} θάνατος^{nams} εἰμί^{vipx3s} ἁμαρτία^{nnfs} πρός^{p} θάνατος^{nams} οὐ^{xo} περί^{p} ἐκεῖνος^{rdgfs} λέγω^{vipa1s} ἵνα^{c} ἐρωτάω^{vsaa3s}. **v.17** πᾶς^{anfsn} ἀδικία^{nnfs} ἁμαρτία^{nnfs} εἰμί^{vipx3s} καί^{c} εἰμί^{vipx3s} ἁμαρτία^{nnfs} οὐ^{xo} πρός^{p} θάνατος^{nams}. **v.18** οἶδα^{vixa1p} ὅτι^{c} πᾶς^{anmsn} ὁ^{dnms} γεννάω^{vpxpnms} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} ἁμαρτάνω^{vipa3s} ἀλλά^{c} ὁ^{dnms} γεννάω^{vpapnms} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} τηρέω^{vipa3s} ἑαυτοῦ^{rxams} καί^{c} ὁ^{dnms} πονηρός^{anmsn} οὐ^{xo} ἅπτω^{vipm3s} αὐτός^{rpgms}. **v.19** οἶδα^{vixa1p} ὅτι^{c} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} εἰμί^{vipx1p} καί^{c} ὁ^{dnms} κόσμος^{nnms} ὅλος^{anmsn} ἐν^{p} ὁ^{ddms} πονηρός^{admsn} κεῖμαι^{vipn3s}. **v.20** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} ἥκω^{vipa3s} καί^{c} δίδωμι^{vixa3s} ἐγώ$^{rpd-p}$ διάνοια^{nafs} ἵνα^{c} γινώσκω^{vspa1p} ὁ^{dams} ἀληθινός^{aamsn} καί^{c} εἰμί^{vipx1p} ἐν^{p} ὁ^{ddms} ἀληθινός^{admsn} ἐν^{p} ὁ^{ddms} υἱός^{ndms} αὐτός^{rpgms} Ἰησοῦς^{ndms} Χριστός^{ndms} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} ἀληθινός^{anmsn} θεός^{nnms} καί^{c} ὁ^{dnfs} ζωή^{nnfs} αἰώνιος^{anfsn}. **v.21** τεκνίον^{nvnp} φυλάσσω^{vdaa2p} ἑαυτοῦ^{rxamp} ἀπό^{p} ὁ^{dgnp} εἴδωλον^{ngnp} ἀμήνth.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑ

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς οὓς
ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ
2 ἐγνωκότες τὴν ἀλήθειαν. διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν
3 ἡμῖν καὶ μεθ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα. ἔσται μεθ ἡμῶν χά-
ρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρός καὶ παρὰ Κυρίου Ἰησοῦ
4 Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. Ἐχάρην
λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ
5 καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε
κυρία οὐχ ὡς ἐντολὴν γράφω σοι καινὴν ἀλλὰ ἣν εἴχομεν ἀπ
6 ἀρχῆς ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη ἵνα
περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ, αὕτη ἐστιν ἡ ἐντολή κα-
7 θὼς ἠκούσατε ἀπ ἀρχῆς ἵνα ἐν αὐτῇ περιπατῆτε. ὅτι πολλοὶ
πλάνοι εἰσῆλθόν εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν
Χριστὸν ἐρχόμενον ἐν σαρκί, οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντί-
8 χριστος. βλέπετε ἑαυτούς ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα
9 ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ παραβαίνων καὶ μὴ
μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ θεὸν οὐκ ἔχει, ὁ μένων ἐν τῇ

---

1. v.1 ὁ^{dnms} πρεσβύτερος^{anmsn} ἐκλεκτός^{adfsn} κυρία^{ndfs} καί^{c} ὁ^{ddnp} τέκνον^{ndnp} αὐτός^{rpgfs} ὅς^{rramp} ἐγώ$^{rpn-s}$ ἀγαπάω^{vipa1s} ἐν^{p} ἀλήθεια^{ndfs} καί^{c} οὐ^{xo} ἐγώ$^{rpn-s}$ μόνος^{anmsn} ἀλλά^{c} καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} γινώσκω^{vpxanmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.2** διά^{p} ὁ^{dafs} ἀλήθεια^{nafs} ὁ^{dafs} μένω^{vppaafs} ἐν^{p} ἐγώ$^{rpd-p}$ καί^{c} μετά^{p} ἐγώ$^{rpg-p}$ εἰμί^{vifx3s} εἰς^{p} ὁ^{dams} αἰών^{nams}. **v.3** εἰμί^{vifx3s} μετά^{p} ἐγώ$^{rpg-p}$ χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} παρά^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} παρά^{p} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} πατήρ^{ngms} ἐν^{p} ἀλήθεια^{ndfs} καί^{c} ἀγάπη^{ndfs}. **v.4** χαίρω^{viao1s} λίαν^{bo} ὅτι^{c} εὑρίσκω^{vixa1s} ἐκ^{p} ὁ^{dgnp} τέκνον^{ngnp} σύ$^{rpg-s}$ περιπατέω^{vppaamp} ἐν^{p} ἀλήθεια^{ndfs} καθώς^{bo} ἐντολή^{nafs} λαμβάνω^{viaa1p} παρά^{p} ὁ^{dgms} πατήρ^{ngms}. **v.5** καί^{c} νῦν^{bo} ἐρωτάω^{vipa1s} σύ$^{rpa-s}$ κυρία^{nvfs} οὐ^{xo} ὡς^{bo} ἐντολή^{nafs} γράφω^{vipa1s} σύ$^{rpd-s}$ καινός^{aafsn} ἀλλά^{c} ὅς^{rrafs} ἔχω^{viia1p} ἀπό^{p} ἀρχή^{ngfs} ἵνα^{c} ἀγαπάω^{vspa1p} ἀλλήλων^{reamp}. **v.6** καί^{c} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἀγάπη^{nnfs} ἵνα^{c} περιπατέω^{vspa1p} κατά^{p} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἐντολή^{nnfs} καθώς^{bo} ἀκούω^{viaa2p} ἀπό^{p} ἀρχή^{ngfs} ἵνα^{c} ἐν^{p} αὐτός^{rpdfs} περιπατέω^{vspa2p}. **v.7** ὅτι^{c} πολύς^{anmpn} πλάνος^{anmpn} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ὁ^{dnmp} μή^{xo} ὁμολογέω^{vppanmp} Ἰησοῦς^{nams} Χριστός^{nams} ἔρχομαι^{vppnams} ἐν^{p} σάρξ^{ndfs} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} πλάνος^{anmsn} καί^{c} ὁ^{dnms} ἀντίχριστος^{nnms}. **v.8** βλέπω^{vdpa2p} ἑαυτοῦ^{rxamp} ἵνα^{c} μή^{xo} ἀπόλλυμι^{vsaa1p} ὅς^{rranp} ἐργάζομαι^{viad1p} ἀλλά^{c} μισθός^{nams} πλήρης^{aamsn} ἀπολαμβάνω^{vsaa1p}.

διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.
εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει μὴ 10
λαμβάνετε αὐτὸν εἰς οἰκίαν καὶ χαίρειν αὐτῷ μὴ λέγετε, 11
ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
Πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέ- 12
λανος ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα
λαλῆσαι ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. Ἀσπάζεταί σε τὰ 13
τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς ἀμήν.

---

v.9 πᾶς^{anmsn} ὁ^{dnms} παραβαίνω^{vppanms} καί^{c} μή^{xo} μένω^{vppanms} ἐν^{p} ὁ^{ddfs} διδαχή^{ndfs} ὁ^{dgms} Χριστός^{ngms} θεός^{nams} οὐ^{xo} ἔχω^{vipa3s} ὁ^{dnms} μένω^{vppanms} ἐν^{p} ὁ^{ddfs} διδαχή^{ndfs} ὁ^{dgms} Χριστός^{ngms} οὗτος^{rdnms} καί^{c} ὁ^{dams} πατήρ^{nams} καί^{c} ὁ^{dams} υἱός^{nams} ἔχω^{vipa3s}. **v.10** εἰ^{qo} τι-σ-ρινμσ ἔρχομαι^{vipn3s} πρός^{p} σύ$^{rpa-p}$ καί^{c} οὗτος^{rdafs} ὁ^{dafs} διδαχή^{nafs} οὐ^{xo} φέρω^{vipa3s} μή^{xo} λαμβάνω^{vdpa2p} αὐτός^{rpams} εἰς^{p} οἰκία^{nafs} καί^{c} χαίρω^{vnpa} αὐτός^{rpdms} μή^{xo} λέγω^{vdpa2p}. **v.11** ὁ^{dnms} γάρ^{c} λέγω^{vppanms} αὐτός^{rpdms} χαίρω^{vnpa} κοινωνέω^{vipa3s} ὁ^{ddnp} ἔργον^{ndnp} αὐτός^{rpgms} ὁ^{ddnp} πονηρός^{adnpn}. **v.12** πολύς^{aanpn} ἔχω^{vppanms} σύ$^{rpd-p}$ γράφω^{vnpa} οὐ^{xo} βούλομαι^{viao1s} διά^{p} χάρτης^{ngms} καί^{c} μέλας^{agnsn} ἀλλά^{c} ἐλπίζω^{vipa1s} ἔρχομαι^{vnaa} πρός^{p} σύ$^{rpa-p}$ καί^{c} στόμα^{nans} πρός^{p} στόμα^{nans} λαλέω^{vnaa} ἵνα^{c} ὁ^{dnfs} χαρά^{nnfs} ἐγώ$^{rpg-p}$ εἰμί^{vspx3s} πληρόω^{vpxpnfs}. **v.13** ἀσπάζομαι^{vipn3s} σύ$^{rpa-s}$ ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgfs} ἀδελφή^{ngfs} σύ$^{rpg-s}$ ὁ^{dgfs} ἐκλεκτός^{agfsn} ἀμήνth.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗ

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.
2 Ἀγαπητέ περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν κα-
3 θὼς εὐοδοῦταί σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελ-
φῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ καθὼς σὺ ἐν ἀληθείᾳ
4 περιπατεῖς. μειζοτέραν τούτων οὐκ ἔχω χαράν ἵνα ἀκούω τὰ
5 ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. Ἀγαπητέ πιστὸν ποιεῖς
6 ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους. οἳ ἐμαρ-
τύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας οὓς καλῶς ποιήσεις
7 προπέμψας ἀξίως τοῦ θεοῦ, ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον
8 μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. ἡμεῖς οὖν ὀφείλομεν ἀπο-
λαμβάνειν τοὺς τοιούτους ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.
9 Ἔγραψά τῇ ἐκκλησίᾳ, ἀλλ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρέφης
10 οὐκ ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο ἐὰν ἔλθω ὑπομνήσω αὐτοῦ τὰ
ἔργα ἃ ποιεῖ λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς καὶ μὴ ἀρκούμε-
νος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς
11 βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. Ἀγαπητέ
μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ

---

1. v.1 ὁ^{dnms} πρεσβύτερος^{anmsn} Γάϊος^{ndms} ὁ^{ddms} ἀγαπητός^{admsn} ὅς^{rrams} ἐγώ$^{rpn-s}$ ἀγαπάω^{vipa1s} ἐν^{p} ἀλήθεια^{ndfs}. **v.2** ἀγαπητός^{avmsn} περί^{p} πᾶς^{agnpn} εὔχομαι^{vipn1s} σύ$^{rpa-s}$ εὐοδόω^{vnpp} καί^{c} ὑγιαίνω^{vnpa} καθώς^{bo} εὐοδόω^{vipp3s} σύ$^{rpg-s}$ ὁ^{dnfs} ψυχή^{nnfs}. **v.3** χαίρω^{viao1s} γάρ^{c} λίαν^{bo} ἔρχομαι^{vppngmp} ἀδελφός^{ngmp} καί^{c} μαρτυρέω^{vppagmp} σύ$^{rpg-s}$ ὁ^{ddfs} ἀλήθεια^{ndfs} καθώς^{bo} σύ$^{rpn-s}$ ἐν^{p} ἀλήθεια^{ndfs} περιπατέω^{vipa2s}. **v.4** μέγας^{aafsn} οὗτος^{rdgnp} οὐ^{xo} ἔχω^{vipa1s} χαρά^{nafs} ἵνα^{c} ἀκούω^{vipa1s} ὁ^{danp} ἐμός^{rsanp} τέκνον^{nanp} ἐν^{p} ἀλήθεια^{ndfs} περιπατέω^{vppaams}. **v.5** ἀγαπητός^{avmsn} πιστός^{aansn} ποιέω^{vipa2s} ὅς^{rrans} ἐάν^{qo} ἐργάζομαι^{vsad2s} εἰς^{p} ὁ^{damp} ἀδελφός^{namp} καί^{c} εἰς^{p} ὁ^{damp} ξένος^{aampn}. **v.6** ὅς^{rrnmp} μαρτυρέω^{viaa3p} σύ$^{rpg-s}$ ὁ^{ddfs} ἀγάπη^{ndfs} ἐνώπιον^{bo} ἐκκλησία^{ngfs} ὅς^{rramp} καλῶς^{bo} ποιέω^{vifa2s} προπέμπω^{vpaanms} ἀξίως^{bo} ὁ^{dgms} θεός^{ngms}. **v.7** ὑπέρ^{p} γάρ^{c} ὁ^{dgns} ὄνομα^{ngns} ἐξέρχομαι^{viaa3p} μηδείς^{aansn} λαμβάνω^{vppanmp} ἀπό^{p} ὁ^{dgnp} ἔθνος^{ngnp}. **v.8** ἐγώ$^{rpn-p}$ οὖν^{c} ὀφείλω^{vipa1p} ἀπολαμβάνω^{vnpa} ὁ^{damp} τοιοῦτος^{rdamp} ἵνα^{c} συνεργός^{anmpn} γίνομαι^{vspn1p} ὁ^{ddfs} ἀλήθεια^{ndfs}. **v.9** γράφω^{viaa1s} ὁ^{ddfs} ἐκκλησία^{ndfs} ἀλλά^{c} ὁ^{dnms} φιλοπρωτεύω^{vppanms} αὐτός^{rpgfp} Διοτρέφης^{nnms} οὐ^{xo} ἐπιδέχομαι^{vipn3s} ἐγώ$^{rpa-p}$. **v.10** διά^{p} οὗτος^{rdans} ἐάν^{qo} ἔρχομαι^{vsaa1s} ὑπομιμνήσκω^{vifa1s} αὐτός^{rpgms} ὁ^{danp} ἔργον^{nanp} ὅς^{rranp} ποιέω^{vipa3s} λόγος^{ndmp} πονηρός^{admpn} φλυαρέω^{vppanms} ἐγώ$^{rpa-p}$ καί^{c} μή^{xo} ἀρκέω^{vpppnms} ἐπί^{p} οὗτος^{rddmp} οὔτε^{c} αὐτός^{rpnms} ἐπιδέχομαι^{vipn3s} ὁ^{damp} ἀδελφός^{namp} καί^{c} ὁ^{damp} βούλομαι^{vppnamp} κωλύω^{vipa3s} καί^{c} ἐκ^{p} ὁ^{dgfs} ἐκκλησία^{ngfs} ἐκβάλλω^{vipa3s}.

ἐστιν, ὁ δὲ κακοποιῶν οὐχ ἑώρακεν τὸν θεόν. Δημητρίῳ με- 12
μαρτύρηται ὑπὸ πάντων καὶ ὑ᾽π αὐτῆς τῆς ἀληθείας, καὶ ἡμεῖς
δὲ μαρτυροῦμεν καὶ οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστιν.
Πολλὰ εἶχον γράφειν, ἀλλ οὐ θέλω διὰ μέλανος καὶ καλάμου 13
σοι γράψαι. ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε καὶ στόμα πρὸς στόμα 14
λαλήσομεν εἰρήνῃ σοί ἀσπάζονταί σε, οἱ φίλοι ἀσπάζου τούς
φίλους κατ᾽ ὄνομα.

v.11 ἀγαπητός^{avmsn} μή^{xo} μιμέομαι^{vdpn2s} ὁ^{dans} κακός^{aansn} ἀλλά^{c} ὁ^{dans} ἀγαθός^{aansn} ὁ^{dnms} ἀγαθοποιέω^{vppanms} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} εἰμί^{vipx3s} ὁ^{dnms} δέ^{c} κακοποιέω^{vppanms} οὐ^{xo} ὁράω^{vixa3s} ὁ^{dams} θεός^{nams}. **v.12** Δημήτριος^{ndms} μαρτυρέω^{vixp3s} ὑπό^{p} πᾶς^{agmpn} καί^{c} ὑπό^{p} αὐτός^{rpgfs} ὁ^{dgfs} ἀλήθεια^{ngfs} καί^{c} ἐγώ$^{rpn-p}$ δέ^{c} μαρτυρέω^{vipa1p} καί^{c} οἶδα^{vixa2p} ὅτι^{c} ὁ^{dnfs} μαρτυρία^{nnfs} ἐγώ$^{rpg-p}$ ἀληθής^{anfsn} εἰμί^{vipx3s}. **v.13** πολύς^{aanpn} ἔχω^{viia1s} γράφω^{vnpa} ἀλλά^{c} οὐ^{xo} θέλω^{vipa1s} διά^{p} μέλας^{agnsn} καί^{c} κάλαμος^{ngms} σύ$^{rpd-s}$ γράφω^{vnaa}. **v.14** ἐλπίζω^{vipa1s} δέ^{c} εὐθέως^{bo} ὁράω^{vnaa} σύ$^{rpa-s}$ καί^{c} στόμα^{nans} πρός^{p} στόμα^{nans} λαλέω^{vifa1p} εἰρήνη^{nnfs} σύ$^{rpd-s}$ ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-s}$ ὁ^{dnmp} φίλος^{anmpn} ἀσπάζομαι^{vdpn2s} ὁ^{damp} φίλος^{aampn} κατά^{p} ὄνομα^{nans}.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ

1 Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος ἀδελφὸς δὲ Ἰακώβου τοῖς ἐν
θεῷ πατρὶ ἡγίασμένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλη-
2, 3 τοῖς, ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. Ἀγαπη-
τοί πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς
σωτηρίας ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνί-
4 ζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. παρεισέδυ-
σαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ
κρίμα ἀσεβεῖς τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλ-
γειαν καὶ τὸν μόνον δεσπότην Θεόν, καὶ κύριον ἡμῶν Ἰησοῦν
5 Χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι εἰδότας
ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας
6 τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. ἀγγέλους τε
τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ
ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις
7 ὑπὸ ζόφον τετήρηκεν. ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ πε-
ρὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ
ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα πυρὸς αἰ-
8 ωνίου δίκην ὑπέχουσαι. Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνια-
ζόμενοι σάρκα μὲν μιαίνουσιν κυριότητα δὲ ἀθετοῦσιν δόξας

---

1. v.1 Ἰούδας^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} δοῦλος^{nnms} ἀδελφός^{nnms} δέ^{c} Ἰάκωβος^{ngms} ὁ^{ddmp} ἐν^{p} θεός^{ndms} πατήρ^{ndms} ἁγιάζω^{vpxpdmp} καί^{c} Ἰησοῦς^{ndms} Χριστός^{ndms} τηρέω^{vpxpdmp} κλητός^{admpn}. **v.2** ἔλεος^{nnms} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} καί^{c} ἀγάπη^{nnfs} πληθύνω^{voap3s}. **v.3** ἀγαπητός^{avmpn} πᾶς^{aafsn} σπουδή^{nafs} ποιέω^{vppmnms} γράφω^{vnpa} σύ$^{rpd-p}$ περί^{p} ὁ^{dgfs} κοινός^{agfsn} σωτηρία^{ngfs} ἀνάγκη^{nafs} ἔχω^{viaa1s} γράφω^{vnaa} σύ$^{rpd-p}$ παρακαλέω^{vppanms} ἐπαγωνίζομαι^{vnpn} ὁ^{ddfs} ἅπαξ^{bo} παραδίδωμι^{vpapdfs} ὁ^{ddmp} ἅγιος^{admpn} πίστις^{ndfs}. **v.4** παρεισδύω^{viaa3p} γάρ^{c} τι-σρινμπ ἄνθρωπος^{nnmp} ὁ^{dnmp} πάλαι^{bo} προγράφω^{vpxpnmp} εἰς^{p} οὗτος^{rdans} ὁ^{dans} κρίμα^{nans} ἀσεβής^{anmpn} ὁ^{dafs} ὁ^{dgms} θεός^{ngms} ἐγώ$^{rpg-p}$ χάρις^{nafs} μετατίθημι^{vppanmp} εἰς^{p} ἀσέλγεια^{nafs} καί^{c} ὁ^{dams} μόνος^{aamsn} δεσπότης^{nams} θεός^{nams} καί^{c} κύριος^{nams} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{nams} Χριστός^{nams} ἀρνέομαι^{vppnnmp}. **v.5** ὑπομιμνήσκω^{vnaa} δέ^{c} σύ$^{rpa-p}$ βούλομαι^{vipn1s} οἶδα^{vpxaamp} σύ$^{rpa-p}$ ἅπαξ^{bo} οὗτος^{rdans} ὅτι^{c} ὁ^{dnms} κύριος^{nnms} λαός^{nams} ἐκ^{p} γῆ^{ngfs} Αἴγυπτος^{ngfs} σῴζω^{vpaanms} ὁ^{dnns} δεύτερος^{annsn} ὁ^{damp} μή^{xo} πιστεύω^{vpaaamp} ἀπόλλυμι^{viaa3s}. **v.6** ἄγγελος^{namp} τέ^{xo} ὁ^{damp} μή^{xo} τηρέω^{vpaaamp} ὁ^{dafs} ἑαυτοῦ^{rxgmp} ἀρχή^{nafs} ἀλλά^{c} ἀπολείπω^{vpaaamp} ὁ^{dans} ἴδιος^{aansn} οἰκητήριον^{nans} εἰς^{p} κρίσις^{nafs} μέγας^{agfsn} ἡμέρα^{ngfs} δεσμός^{ndmp} ἀΐδιος^{admpn} ὑπό^{p} ζόφος^{nams} τηρέω^{vixa3s}. **v.7** ὡς^{bo} Σόδομα^{nnnp} καί^{c} Γόμορρα^{nnfs} καί^{c} ὁ^{dnfp} περί^{p} αὐτός^{rpafp} πόλις^{nnfp} ὁ^{dams} ὅμοιος^{aamsn} οὗτος^{rddmp} τρόπος^{nams} ἐκπορνεύω^{vpaanfp} καί^{c} ἀπέρχομαι^{vpaanfp} ὀπίσω^{bo} σάρξ^{ngfs} ἕτερος^{agfsn} πρόκειμαι^{vipn3p} δεῖγμα^{nans} πῦρ^{ngns} αἰώνιος^{agnsn} δίκη^{nafs} ὑπέχω^{vppanfp}.

δὲ βλασφημοῦσιν. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος ὅτε τῷ διαβόλῳ 9
διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος οὐκ ἐτόλ-
μησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας ἀλλ᾽ εἶπεν Ἐπιτιμήσαι
σοι κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν ὅσα 10
δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται ἐν τούτοις φθείρονται.
οὐαὶ αὐτοῖς ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ 11
τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κόρε
ἀπώλοντο. οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες συνευ- 12
ωχούμενοι ἀφόβως ἑαυτοὺς ποιμαίνοντες νεφέλαι ἄνυδροι ὑπὸ
ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα δὶς ἀπο-
θανόντα ἐκριζωθέντα. κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα 13
τὰς ἑαυτῶν αἰσχύνας ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκό-
τους εἰς τὸν αἰῶνα τετήρηται. Προεφήτευσεν δὲ καὶ τούτοις 14
ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ λέγων Ἰδοὺ ἦλθεν κύριος ἐν μυριά-
σιν ἁγίαις αὐτοῦ. ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐξέλέγξαι 15
πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐ-
τῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν
κατ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί εἰσιν γογγυσταί μεμψί- 16
μοιροι κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι καὶ τὸ στόμα
αὐτῶν λαλεῖ ὑπέρογκα θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

---

